ΚΡΗΤΙΚΑ 1985

# ΠΕΡΙ

# τῶν παρ' Ὁμήρῳ πρώτων τῆς Νήσου Κρήτης λαῶν

ὑπό

Βασιλείου Ψιλάκη Κρητός

διδάκτορος τῆς Φιλοσοφίας

---

Λειψία

Τύποις Τεύβνερου

1865.

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
— ΧΑΝΙΩΝ —
Αύξ. άριθ. 56482
Χρονολ. Εἰσαγ. 18-5-2000
Εἰδικότης Ιστ. Αρχ. Κρήτης
Ἀριθ. 938.113/ΨΙΛ

ΚΡΗΤΙΚΑ 1925

ΤΩι ΜΕΓΑΛΩι ΠΟΛΙΤΗι

ΚΑΙ

ΠΑΝΕΛΛΗΝΙΩι ΕΥΕΡΓΕΤΗι,

ΕΜΩι ΔΕ ΕΥΜΕΝΕΣΤΑΤΩι ΠΡΟΣΤΑΤΗι

# Κ. Κ. ΔΗΜΗΤΡΙΩι ΜΠΕΝΑΡΔΑΚΗι

ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΕ

ΚΑΙ

ΣΕΒΑΣΜΟΥ

ΕΛΑΧΙΣΤΟΝ ΤΕΚΜΗΡΙΟΝ.

ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤ. ΜΑΡΜΟΥ
ΑΡΙΘΜΟΣ 10258
ΧΑΝΙΑ

22 MAI. 1964

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ — ΥΠΟΥΡΓ. ΕΣΩΤΕΡΙΚΩΝ —

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΚΡΗΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ — ΥΠΟΥΡΓ. ΕΣΩΤΕΡΙΚΩΝ —

# ΠΡΟΟΙΜΙΟΝ.

*'Δοκεῖ ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς, πάσῃ γὰρ ἐπίκειται τῇ θαλάσσῃ, σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων.'*

*Ἀριστοτέλης ἐν Πολιτικοῖς* II, 10.

*Πάντων τῶν περὶ ἡμᾶς πεφυκότων ἐπὶ τὸ ὑπουργεῖν καὶ ὑπηρετεῖν τῇ τῆς ἀνθρωπίνης κοινωνίας ὑπάρξει τε καὶ προόδῳ, ἄριστά γέ τε καὶ κάλλιστα ὁ σκοπὸς οὗτος πληροῦται, εἴ τι τῆς γῆς μέρος δύο διαφερόντως εὐμοιρεῖ πλεονεκτημάτων, θέσεως προσφόρου ἐπ' εὐχερεῖ ἐπιμιξίᾳ καὶ φύσεως ἐξαιρέτου ἐπ' εὐδαίμονι διαβιώσει τῶν ἐν αὐτῷ ἐν κοινωνίᾳ βιούντων. τούτων οὕτως ἐχόντων, ὀλίγα ἴσως τῆς γῆς μέρη οὕτω προσφυῶς κεῖται καὶ οὕτω τῇ φύσει δαψιλῶς ἐδωρήθη πρὸς τὸν σκοπὸν τοῦτον, ὡς ἡ τῆς Μεσογείου βασιλὶς Κρήτη. διὸ καὶ ὁ Φιλόσοφος καὶ Πολιτικός, ὁ διεισδύσας τῷ τῆς διανοίας ὄμματι εἰς τὰ πράγματα καὶ ἐξερευνήσας τὰς αἰτίας αὐτῶν καὶ τὸ τέλος, ἀπεφήνατο αὐτὴν καλῶς κεῖσθαι καὶ πεφυκέναι πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικήν, δῆλα δὴ πρὸς τὴν κατὰ τὴν Ἀνατολήν.*

*Καὶ εὐμοιρεῖ μὴν ἡ Κρήτη πάντων τῶν ἐκ τῆς γεωγραφικῆς θέσεως καὶ τῆς ἀρίστης τοῦ ἐδάφους καὶ τοῦ κλίματος ποιότητος πλεονεκτημάτων πρὸς εὐδαιμονίαν κοινωνικήν. ἀλλ' ἐξίκετο τῷ ὑψηλῷ καὶ ἐξόχῳ σκοπῷ, πρὸς ὃν αὐτὴν ἡ πανσθενὴς τοῦ Δημιουργοῦ χεὶρ ἔταξεν, ἐν οὕτω περιφανεῖ αὐτὴν ἱδρυσαμένη θρόνῳ, ἐν μέσῳ τῶν τριῶν τοῦ παλαιοῦ κόσμου ἠπείρων; ἀληθὲς μὲν ὡς ἡ Κρήτη πλεῖστον εἰς τὴν τῆς Ἑλλάδος συνεβάλετο πρόοδον, ἡ πρώτη τῆς εὐνομίας καὶ*

τοῦ πολιτισμοῦ γενομένη ἑστία· ἀλλὰ τὰ γεγονότα, ὧν τὰ αἴτια ἐν τῇ τῶν πραγμάτων ἔκειτο φύσει, μέγα παρενεβάλετο πρόσκομμα τῇ προόδῳ αὐτῆς τῇ τοῖς ἐξόχοις ἀναλογούσῃ δώροις, οἷς τῇ φύσει ἐδωρήθη· ὁ Φιλόσοφος ὅμως, καίπερ ἰδὼν τὴν βασιλείαν τοῦ μεγάλου αὐτοῦ μαθητοῦ, τοῦ ἐσαεὶ συμβόλου ἐκείνου τῆς Πανελληνίου ἑνότητος, ὡς μετέωρον λαμπρὸν μὲν καὶ τηλαυγές, ἀλλὰ ῥάγδην πρὸ αὐτοῦ παρελθόν, καὶ ἀναδιφήσας τὰ τέως γεγονότα ἐν τῷ ἔθνει, ὅπερ οὐκ ἐπρωταγωνίστει, ἀλλὰ μόνον ἐν τῷ τότε κόσμῳ ἦρχε καὶ ἠκούετο, ὅπερ ἐν τῷ τότε κοινωνικῷ, οὕτω φάναι, οὐρανῷ ἐπεσκότει τῷ ἀπλέτῳ αὐτοῦ φωτὶ ὡς ὁ ἥλιος τοὺς πέριξ ἀστέρας, ἔφη μήπω τὴν βασιλίδα τῆς Μεσογείου τὸν ἀποκείμενον αὐτῇ Ἑλληνικὸν σκοπὸν πληρῶσαι, ἐννοῶν ἐν τῷ βάθει τῆς φιλοσοφικῆς τε καὶ πολιτικῆς αὐτοῦ δεινότητος, ὅτι ἔθνος ἐκ τοῦ μὴ ὄντος οὕτω κολοσσιαῖον γενόμενον, οὐχ οἷόν τ' ἐστὶ πάντα τὸν χρόνον δῦναι, εἰ ἀπέκειτο τῇ τῶν πραγμάτων φύσει ὡς κομήτης περιοδικὴν μόνον τροχιὰν διανῦσαι.

Ἡ ἀρχαία τῆς Κρήτης ἱστορία διὰ χρόνου πλῆθος πέπλῳ πυκνῷ καλύπτεται. ἄκρα δέ τις αὐτοῦ ὑπαναίρεται ἐν τοῖς περὶ Μίνωος ἡμῖν ῥητῶς τε καὶ σαφῶς παραδιδομένοις· οἱ γὰρ τῆς Ἑλληνικῆς ποιήσεως, ἱστορίας καὶ φιλοσοφίας καθηγεμόνες Ὅμηρος, Ἡρόδοτος, Θουκυδίδης, Πλάτων καὶ Ἀριστοτέλης οὐ τάττουσι τὸν Κρῆτα Μίνωα ἐν τῷ τῶν θεῶν ἢ ἡμιθέων χώρῳ, ὡς Ἡρακλέα καὶ ἄλλους, ἀλλὰ χαρακτηρίζουσι καὶ παριστᾶσιν αὐτὸν θνητόν, βασιλέα τε κραταιὸν καὶ κοσμητὴν κοινωνικόν, ἔχοντα ὡρισμένως πατρίδα τὴν ἑκατόμπολιν Κρήτην, καὶ εἰδικὴν ἕδραν τὴν μεγάλην πόλιν Κνωσσόν. καίπερ δ' ὄντος τηλικούτου τοῦ χρονικοῦ διαστήματος ἀπὸ τῶν χρόνων αὐτοῦ μέχρι τοῦ χρυσοῦ τῆς Ἑλλάδος αἰῶνος, καίπερ ἐπ' αὐτοῦ ἐν τοῖς σπαργάνοις τοῦ Ἑλληνικοῦ ἔθνους κατακειμένου, ἦν ὅμως ὁ ἡγεμὼν τῆς βασιλίδος τῆς Μεσογείου οὕτω τὸν νοῦν μέγας, ὥστε κατενόησε τὴν σπουδαιότητα τῆς γεωγραφικῆς θέσεως καὶ τῆς εὐδαίμονος φύσεως τῆς γῆς, ἧς ἦρχε, καὶ ἔγνω εὐδαίμων θνητὸς ὢν ἑαυτὸν ἀρκούντως ἱκανὸν τὴν πάντιμον ἀρχὴν ποιήσασθαι τὸν πρῶτον ἐπ' αὐτῆς κοινωνικὸν ἐν Ἑλλάδι φάρον οἰκοδομῆσαι καὶ τὸν μέγαν ἐν αὐτῷ καὶ περιφανῆ ἐκεῖνον τῆς κοινωνικῆς προόδου πυρσὸν ἐναῦσαι, ὅσπερ ὡς ἐν πρωτοπορίᾳ τεθεὶς τὰ πυκνὰ τῆς Ἑλληνικῆς καὶ ἐν γένει τῆς Εὐρωπαϊκῆς κοινωνίας διεσκέδασε

σκότη, ἥπερ τῷ τηλαυγεῖ ἐκείνῳ φωτὶ ποδηγετηθεῖσα, ἤρξατο ἔπειτα βαίνειν τὴν ὁδόν, ἣν αὐτῇ ἀπέκειτο οὕτως εὐγενῶς καὶ κοινωφελῶς διανῦσαι. τὸ τοῦ νοὸς αὐτοῦ μέγεθος ἔστιν ἡμᾶς νοῆσαι, εἰ τὰς δυσυπερβάτους δυσχερείας ἀναλογισόμεθα, ἅς ἔδει αὐτὸν καταγωνίσασθαι, καὶ τὴν μείωσιν, εἰ μὴ ἀπόσβεσιν, τοῦ θείου ἀκείνου πυρός, ἐκλιπούσης τῆς χειρός τῆς πρὸς οὐρανομήκη ἀνάφλεξιν αὐτὸ ἐκκαιούσης ἐν τῷ μέσῳ τῶν τριῶν τοῦ παλαιοῦ κόσμου ἠπείρων.

Ὁ Μίνως τῆς Ἑλλάδος ἐστὶν ὁ Νουμὰς τῆς Ῥώμης, ὁ Μωϋσὴς τοῦ Ἰσραήλ, οὓς ἀπέστειλεν ὁ Θεὸς πρὸς ἀποκάλυψιν τῶν τοῦ ἀνθρωπίνου προορισμοῦ μυστηρίων, ὡς ὁ Ὁμηρικὸς Ζεὺς προπέμπει τὴν ῥοδοδάκτυλον Ἠῶ ἄραι τὰς εὐρείας τοῦ οὐρανοῦ πύλας πρὸς ἐξέλασιν τοῦ πυρφόρου τοῦ Ὑπερίονος ὀχήματος. ἡ θεία πρόνοια ηὐδόκησε τάξαι τὸν πρῶτον ἐν Ἑλλάδι περιφανῆ ἡγεμόνα ἐν τῇ βαλβῖδι καὶ τῇ ἀφετηρίᾳ τῆς πεντάθλου αὐτῆς σταδιοδρομίας. ἀλλὰ μετὰ τὴν ἔκλειψιν τοῦ τηλαυγοῦς τούτου ἀστέρος καταλύεται τὸ Μινωϊκὸν κράτος καὶ παύει πράγματι καὶ ἐνεργίᾳ ἡ τῆς γεωγραφικῆς θέσεως τῆς βασιλίδος τῆς Μεσογείου σπουδαιότης, ἣν ὁρᾷ ὁ μέγας τοῦ Ἀριστοτέλους νοῦς ἐσαεὶ δυνάμει καὶ φύσει αὐτῇ ἐνοῦσαν. οἱ αἰωνόβιοι ὅμως τῆς φύσεως νόμοι οὐκ ἐτέθησαν δήπου, ἵνα ἐν ἀπραξίᾳ διατελῶσιν. ἀλλὰ τίνα ποτὲ καὶ ὁποῖα τὰ αἴτια, ὧν ἕνεκα ἀδρανείᾳ κατεδικάσθη τὰ φυσικὰ τῆς Κρήτης πλεονεκτήματα; ταῦτα δεῖ ἡμᾶς ἐν βραχεῖ ἰδεῖν καὶ ἐξετάσαι, ἵνα γνῶμεν, εἰ φευκτέα ἐν τῷ μέλλοντί ἐστι, τὰ γὰρ ἔθνη ἐγένετο, καὶ δὴ τὸ ὑπὸ τοιοῦτον οὐρανὸν βιοῦν καὶ ἐκ τοιούτων τὴν ἀρχὴν τοῦ γένους ἔχον Ἑλληνικόν, ἵν᾿ ἐσαεὶ ἐπὶ τὸ τελειότερον προβαίνῃ, καὶ εἰ τῇ τούτων ἀποφεύξει ἡ Κρήτη εἰς βελτίω, οὐχὶ τῆς νῦν, τοῦτο καὶ τυφλοῖς ὁρατόν, ἀλλὰ τῆς πάλαι κατάστασιν μεταπεσοῦσα χρήσιμος τῇ μεγάλῃ Μητρὶ γενήσεται, ὡς ὁ Φιλόσοφος δογματίζει.

Μίνωος τὰ μὲν οἴκοι καὶ ἔνδον τῆς νήσου διοργανοῦντός τε καὶ κοσμοῦντος καὶ πολιτικὴν δύναμιν ἐν τοῖς Ἕλλησι κτωμένου, τῶν δ᾿ ἐκτὸς καὶ τῶν πέριξ Κρήτης θαλασσῶν, πεδίου τέως οὐσῶν τῶν ἐν αὐταῖς ἀλλήλοις ἐφορμώντων Πελασγικῶν καὶ Σημιτικῶν λαῶν, Καρῶν καὶ Λελέγων καὶ Φοινίκων, ναυτικῇ δυνάμει κρατοῦντος καὶ τὰ τούτων κρησφύγετα καθαιροῦντος, τοῖς δ᾿ οἰκοῦσιν ἐν αὐταῖς τε καὶ περὶ αὐτὰς ὁμοφύλοις ἀσφάλειάν τε παρέχοντος καὶ κοινωνικοὺς θεσμοὺς

εἰσάγοντος, πᾶσα ἡ Ἑλλὰς τοῖς Πελασγοῖς ἔτι ᾠκεῖτο. ἀλλ' ὅμως ὁ Μίνως ἴσχυσε σὺν τοῖς ἱστομένοις ἐν τῇ κατωτάτῃ τοῦ Ἑλληνισμοῦ βαθμίδι Πελλσγοῖς τούτοις τὴν μὲν Κρήτην κοινωνικῶς τε καὶ πολιτικῶς διοργανῶσαι, πληθὺν δ' ἐν αὐτῇ κτίσαι πόλεων, αἵπερ αἱ ἀρχαιότεραι πασῶν τῶν ἐν Εὐρώπῃ εἰσί, κατὰ τὸ πρεσβύτερον τῶν Ἑλληνικῶν συγγραμμάτων, τὰ Ὁμήρου ἔπη· ἄνευ γὰρ δήπου ἠθικῆς τε καὶ ὑλικῆς διοργανώσεως καὶ κοσμήσεως τῶν ἐν τῷ νησιωτικῷ βασιλείῳ αὐτοῦ πραγμάτων, ἄνευ κοινωνικῶν ἐθίμων, καρποῦ τε καὶ προϊόντος φυσικῶς ὄντων πολλοῦ χρόνου πρὸ αὐτοῦ γενομένου, οἷς ὁ βασιλεὺς τῇ διοικητικῇ αὐτοῦ δεξιότητι τὴν τῶν στερεῶν νόμων ἐπέθηκε σφραγῖδα, καὶ ἃ οὕτω πρὸς στάθμην ἰθυνθέντα τὰς τῶν ὑπηκόων πρός τε αὐτὸν καὶ πρὸς ἀλλήλους ὥρισε σχέσεις, οὐκ ἐδύνατό γε πρότερον καὶ ἐκτὸς τὴν ἀρχὴν αὐτοῦ σεβαστὴν ποιῆσαι, ναυτικὴν δύναμιν τοιαύτην κτήσασθαι, οἵα ἡμῖν ῥητῶς τε καὶ σαφῶς παραδίδοται, ἐκστρατείας ἐπιχειρῆσαι καὶ ἀπὸ τῆς ἕδρας αὐτοῦ οὕτω πολλὰς ἀποικίας ἀκτινηδὸν πρός τε κατοχὴν καὶ ἐκπόλισιν πολλῶν τε νήσων καὶ ἐκτεταμένων παραλιῶν διαπέμψαι. ὁ ἰδίᾳ τὰ κατὰ Κρήτην καὶ λίαν ἀκριβῶς τε καὶ σοφῶς ἐρευνήσας Γερμανὸς Οἴκκιος ἰδοὺ ὅ, τι ἐν πλείστοις ἄλλοις φησί· 'πᾶν τὸ περὶ τῶν παναρχαίων χρόνων καὶ τῆς ἀρετῆς καὶ δεινότητος τῶν νόμων τῆς Κρήτης, πᾶν τὸ περὶ τῆς αὐστηρᾶς Ῥαδαμάνθυος εὐθυδικίας ὁμοφώνως ἡμῖν παραδόσεσι κοινούμενον ἄγει ἡμᾶς ἀποδέξασθαι, ὡς ἐν τοῖς Μίνωος χρόνοις ἐκμεμορφωμέναι τέως ἐν Κρήτῃ πολιτικαὶ σχέσεις ἦσαν καὶ ἔννομος ἐπεκράτει κατάστασις, οἷς ἡ νῆσος πολλὰ τῆς Ἑλληνικῆς χέρσου ὑπερέβαλε μέρη. εἰ μὴ γὰρ πρωΐμως ἀφορμὴ τοῦ γενικοῦ τούτου ἐπαίνου ἐκεῖσε ἐδίδοτο, οὔ ποτ' ἄν γε μέτρῳ τηλικούτῳ ἡ τῶν παραδόσεων πληθὺς προβαίη τε καὶ αὐξηθείη' 1).

Ταῦτα δήπου ἐστὶ δύο δεδομένων ἀποτελέσματα, χώρας θαυμασίως τε κειμένης καὶ φύσει εὐδαίμονος, καὶ λαοῦ πολυπληθοῦς, ἀλλ' ἀδιασπάστου συγκρατουμένου χειρὶ εὐτόνῳ καὶ στιβαρᾷ, οἵα ἦν ἡ Μίνωος τοῦ Διός. ἀλλὰ μετὰ τὰ Τρωικὰ ἐκλιπούσης τῆς συνεκτικῆς ταύτης δυνάμεως, ἥπερ ἔν τε τῇ νηπιότητι καὶ τῷ γήρᾳ τῶν ἐθνῶν τῶν ὧν οὐκ ἄνευ ἐστί, καὶ

1) Ὅρα Hoeck's Kreta, II, S. 129. παράβαλε καὶ 187 καὶ 191, καὶ III, S. 405—406.

δὴ καταργηθείσης μετ' Ἰδομενέα τῆς βασιλείας, διεσπάσθη ἡ πολιτικὴ τῆς Κρήτης ἑνότης, ἐν πολλαῖς ἐλευθέραις μὲν καὶ εὐνομουμέναις πολιτείαις καταμερισθείσης, ἀλλ' ἐλλείψει τῆς συνεκτικῆς ταύτης δυνάμεως καὶ φυλετικῇ διαιρέσει τε καὶ ἀντιθέσει μὴ ὁμοφώνως καὶ ὁμονόως διαγούσης. τὴν κατὰ τὰς πολλὰς δὲ τῆς νήσου πόλεις διάστασίν τε καὶ ἀντιζηλίαν ἐπηύξησεν ἡ τρεῖς γενεὰς μετὰ τὴν εἰς Πελοπόννησον ἐπιδρομὴν γενομένη καὶ εἰς Κρήτην τῶν Δωριέων ἐπέλευσις, οἳ ἐχρήσαντο μὲν τῇ ἀνωμαλίᾳ ἐκείνῃ, καὶ εὔθετόν γε τηρήσαντες καιρὸν ἐπελάβοντο αὐτοῦ, οὐ πάνυ τοι δυσχερῶς καὶ ἐπιπόνως καὶ ἐν αὐτῇ καταστάντες, ἀλλ' οὐκ ηὐτύχησάν γε πλεῖον τῶν ἐγχωρίων· πλὴν γὰρ τοῦ εὑρεῖν οὕτω διακειμένην τὴν πολιτικὴν τῆς νήσου κατάστασιν καὶ σχεῖν ἐναντίους ἀεὶ ἐν τῷ μέλλοντι τοὺς προτέρους τῆς νήσου κατόχους, ὡς καταστήσαντες αὐτοὺς κατὰ τὰ Δώρια νόμιμα εἰς τὴν τῶν Περιοίκων καὶ δούλων τάξιν, οὐκ ὡμονόουν καὶ αὐτοὶ ἀλλήλοις, οὐ γὰρ ὡρμῶντο ἐξ ἑνὸς μόνου, ἀλλ' ἐκ διαφόρων τῆς Πελοποννήσου Δωρικῶν σταθμῶν, τὴν δὲ διαίρεσιν, ἣν μεθ' ἑαυτῶν ἐκόμιζον, ἐπηύξησεν ἡ φύσις τῆς χώρας, ἥπερ ὑπὸ τοῦ ὄρους τῆς Ἴδης ἰδίᾳ καὶ τῶν ἐκτενῶν αὐτῆς κλάδων εἰς ἀνατολικήν, μεσεμβρινήν, βορείαν καὶ δυτικὴν διήρηται[1]. 'κατάδηλόν ἐστι, φησὶν αὖθις Οἴκκιος[2]), ὅτι οἱ διηνεκεῖς τῶν Κρητῶν διαπληκτισμοί, ὧν τὸ αἴτιον κεῖται τὸ μὲν ἐν τοῖς ἰδίοις καὶ διαφόροις συμφέρουσι τῶν ἀλλήλαις ἀσυνδέτων ἐποικίσεων, τὸ δ' ἐν τῇ ἐλλείψει μιᾶς μόνης προεξαρχούσης ἡγεμονίας καὶ τρίτον ἐν τῇ πρὸς ἀγῶνάς τε καὶ μάχας τοῦ Δωρικοῦ φύλου ῥοπῇ, συνεβάλοντο πλεῖστον εἰς τὴν τῶν Κρητῶν ἐκδιαίτησιν.' ἀναλογισώμεθα δὲ τὸ τῶν ἀποτελεσμάτων μέγεθος, εἰ διήρκει ἐν τῇ νήσῳ ἡ πρὸ τῶν Τρωϊκῶν ὁμόνοια καὶ ἑνότης καὶ εἰ τὰ αὐτῆς ἴθυνε, καὶ δὴ μετὰ τὴν ἐγκατάστασιν τοιούτου ζωτικοῦ στοιχείου, οἷον τὸ Δωρικόν, νοῦς οὕτω δεξιός, οἷος ὁ τοῦ Μίνωος! καὶ ἡ Πελοπόννησος οὐκ ἐκυβερνᾶτο τοῦ λοιποῦ, ὡς ἐπὶ τῶν Τρωϊκῶν, ὑφ' ἑνὸς σχεδὸν οἴκου, τοῦ τῶν Πελοπιδῶν· ἀλλά γε τῇ ἀξίᾳ καὶ τῇ σεβασμὸν ἐπιταττούσῃ Σπάρτης ὑπεροχῇ ἐθεωρεῖτο ὡς ὑπ'

1) Ἐν μὲν τῇ ἀνατολικῇ Κρήτῃ ἦρχεν ἡ Λύκτος, ἐν δὲ τῇ μεσημβρινῇ ἡ Γόρτυν, ἐν τῇ βορείῳ ἡ Κνωσὸς καὶ ἐν τῇ δυτικῇ ἡ Κυδωνίᾳ. ὅρα Hoeck πανταχοῦ.

2) Ὅρα Koeck, III, 446.

αὐτῆς κανονιζομένη ἐν τῇ πορείᾳ τῇ πολιτικῇ, διὸ καὶ ὁ Πελοποννησιακὸς πόλεμος οὕτως ἐκλήθη, καίπερ ὢν κυρίως πόλεμος Σπάρτης κατ' Ἀθηνῶν. ἐν Κρήτῃ ὅμως ὁτὲ μὲν Λύκτος, ὁτὲ δὲ Κνωσός, ὁτὲ Γόρτυν, ὁτὲ Κυδωνία ὑπερίσχυεν.

Ἡ ἀρχὴ οὖν καὶ αἰτία τῆς τε ἐκδιαιτήσεως τῶν Κρητῶν καὶ τῆς κατατριβῆς τῶν ὑλικῶν δυνάμεων ἔγκειται τοῖς πόρρω τούτοις αἰτίοις καὶ τοῖς ἐξ αὐτῶν ἀμέσοις, τοῖς διηνεκέσιν ἐν ἀλλήλοις διαπληκτισμοῖς καὶ φρικώδεσι σπαραγμοῖς, οἵπερ οὐκ ἤρξαντο ἐν τῇ τρίτῃ π. Χ. ἑκατονταετηρίδι, ἐν δεινώσει κατ' αὐτὴν ὄντες, ἀλλὰ πολλῷ πρότερον[1]). οἱ γὰρ ἐν ταῖς παραλίοις τῆς νήσου πόλεσι καὶ τοῖς λιμέσι μᾶλλον συσπειραθέντες ἀρχαῖοι κάτοικοι, οἱ Περίοικοι, περὶ τὴν ἐμπορίαν καὶ πᾶν ἔργον ἐπικερδὲς σπουδάζοντες καὶ πλουτοῦντες, ἐπιτρέποντος αὐτοῖς τοῦτο τοῦ Δωρικοῦ ἐν Κρήτῃ νόμου, ἐπίφοβοι τῷ χρόνῳ κατέστησαν τῷ Δωρικῷ στοιχείῳ καὶ λύμη τοῖς Δωρίοις νομίμοις καὶ τῇ κατ' αὐτὰ αὐστηρᾷ διαίτῃ· πλοῦτον γὰρ μέγαν τὸν ὕστερον χρόνον τῇ ἐμπορίᾳ καὶ τοῖς ἄλλοις ἐπικερδέσιν ἔργοις συγκομισάμενοι οὐ μόνον οὐκ ἠνείχοντο τοῦ λοιποῦ διατελεῖν ὑπείκοντες τῇ πολιτικῃ ταύτῃ θέσει, ἀλλ' οὔτε τῷ τῆς ἀριστοκρατικῆς τῶν Δωριέων πολιτείας σχήματι ἠρκοῦντο· διὸ μετὰ πολλὰς ὑποκινηθείσας ταραχάς, ἐν αἷς ἰδίᾳ αἱ τῶν κατὰ πόλεις Δειριέων ἀντιζηλίαι, πολυτρόπως ὑπεθάλποντο, ἀπέβη κατὰ τὴν τῶν Περιοίκων προσδοκίαν τὴν μεγίστην γενέσθαι διαταραχὴν καὶ ἀνωμαλίαν, τὴν κατὰ τὸ Κρητικὸν πολίτευμα ‛ἀκοσμίαν' καλουμένην, ὅτ' ἐξελθόντες τῆς πολιτικῆς ἐκείνης θέσεως ἀνέτρεψαν ἐν τῷ αὐτῷ τὸ καθεστώς, μεταστὰν τοὐντεῦθεν (περὶ τέλη τῆς τρίτης π. Χ. ἑκατονταετηρίδος) εἰς ἄκρατον δημοκρατίαν[2]). ἐλαχίστου δὲ λόγου τοῦ λοιποῦ ὄντος περὶ Δωρίων νομίμων καὶ ἀνοιχθείσης τῆς θύρας τῇ πλεονεξίᾳ τε καὶ ἀπληστίᾳ, συνεισῆλθεν αὐταῖς ἐν τῇ περιβοήτῳ δι' αὐστηρότητα ἐν τοῖς Δωριεῦσι διαίτῃ καὶ ἐθίμοις πᾶν ἠθικῶς τε καὶ κοινωνικῶς λαοφθόρον· οἱ γὰρ οὕτω τῇ πολιτείας μετασχόντες πολυπληθεῖς Περίοκιοι οὐκ εἰσάλασιήν γ' ἐν τοῖς Δωριεῦσιν ὥς τις κοινωνία συμπαγὴς καὶ πολιτικῷ τινι συστήματι ἐρρυθμισμένη, ἀλλὰ καθ' ἑκάστους, μηδὲν ἕτερον προσὸν φερόμενοι ἢ

1) Ὅρα Πινδ. Ὀλ. XII καὶ Παυσ. ἐν Λακωνικοῖς, 2, 7.

2) Ὅρα Ἀριστοτ. Πολιτ. II, 7, καὶ Hoeck, III, 64—66 καὶ 447—448.

πληθὺν καὶ πλοῦτον, μὴ κεκτημένον καὶ τοῦτον ἐντίμως τὰ πολλά. ἀλλὰ καὶ οὕτως οὐδόλως ἐπαύσαντο τῇ πολιτικῇ ταύτῃ μεταβολῇ οἱ ἐμφύλιοι σπαραγμοί· μόνον γὰρ τὸ μεταξύ Περιοίκων τε καὶ Δωριέων μεσότοιχον καθῃρέθη, ἀλλ' ὅυ τοι τὸ παράπαν τὸ μεταξὺ Κνωσίων καὶ Λυκτίων, ἤ Κυδωνιατῶν καὶ Γορτυνίων· τοὐναντίον δ' ἐπεσφοδρύνθησαν, τὸ μὲν γὰρ ἐπληθύνθη ὁ ἀριθμὸς τῶν νομίμων πολιτῶν ἑκάστης, τὸ δ' ᾤχετο πάντα τὸν χρόνον ἀπιόντα τὰ Δώρια νόμιμα καὶ ἐξεφαυλίσθη ἡ δίαιτα καὶ τὰ ἔθιμα τὰ αὐστηρά.

Ὁ πόλεμος οὖν, ὅσπερ ἐξαίρεσις μόνον, ἀλλ' οὐ κανών, ὃς ἀναγκαῖον μόνον ἐστὶ κακόν, πρὸς ὃ αἱ κοινωνίαι αὐτοδικαίως προσφεύγουσιν, ἀπειλουμένης ὑφ' ἑτέρων τῆς αὐθυπαρξίας αὐτῶν, ἦν ἐν Κρήτῃ τοῦ λοιποῦ ἐμφύλιος καὶ διηνεκής. καὶ κατέστησε μὲν τοὺς Κρῆτας δεινοὺς πολεμιστάς, ἀλλὰ τοῦτο, ἐνισχυόμενον ἄλλως τε καὶ τῇ φύσει τοῦ τε Δωρικοῦ φύλου καὶ τῆς ζειδώρου τῆς Κρήτης αὔρας, οὐκ ἐπήρκεσεν ἄνευ ἑδραίων καὶ σεβαστῶν νομίμων καὶ αὐστηρῶν ἐθίμων καὶ διαίτης, ψυχήν τε καὶ σῶμα διαμορφούτων, καὶ πατρίδα, ἰσότητα καὶ ἐλευθερίαν, τὰ τιμαλφέστερα τῶν ἐν ἀνθρώποις ἀγαθῶν περιεπόντων, ἀποσοβῆσαι τὸν ἐκ μειζόνων δυνάμεων ἐπελθόντα αὐτοῖς κίνδυνον, οἷος ὁ τῶν Ῥωμαίων ἐγένετο. εἴ γε διῆγον ἐν ὁμονοίᾳ οἱ ἐπελθόντες ἔποικοι, Δωριεῖς τὸ πλεῖστον ὄντες, καὶ γενικῷ δεσμῷ συνεχόμενοι τά τε πάτρια νόμιμα καὶ τὴν δίαιταν περιέσωζον, οὕτω παλλούσης τῆς καρδίας αὐτῶν τῷ ὑπὲρ ἐλευθερίας ἐνθουσιασμῷ καὶ ἔρωτι τῆς Πατρίδος (ἣν οὕτως ἁβρῶς καὶ φιλοστόργως Μητρίδα ἐκάλουν), καὶ τὸν Μέτελλον καὶ ἄλλους στρατηγοὺς τῆς ἀπλήστου, ἀλλά πολλῇ συνέσει βαινούσης Ῥώμης νικήσειαν ἄν, ὡς πρότερον τῷ κατορθωθέντι καὶ ὀλιγοχρονίως διαρκέσαντι Συγκρητισμῷ τὸν πατέρα τοῦ τῆς Τριαρχίας Μάρκου Ἀντωνίου, καὶ τῇ ἄλλῃ Ἑλλάδι πλεῖστον ἂν ἀμύνειαν. πρωΐμως γὰρ τῆς ἐν Κρήτῃ κοινωνίας ἐπὶ τὰ πρόσω χωρησάσης, οἷόν τ' ἦν τὴν νῆσον, νέας δυνάμεις τῇ τῶν Δωριέων ἐποικίσει προσκτησαμένην, τοιαῦτα φυσικὰ πλεονεκτήματα, οὕτω πλουσίους πόρους καὶ τηλικαύτην γῆς ἔκτασιν ἔχουσαν, καὶ τὴν ἰσορροπίαν, εἰ ὡμονόει καὶ τοῖς ἔξω τὸν νοῦν προσεῖχεν, ἐν τοῖς διαμαχομένοις ἐν Ἑλλάδι διασώζειν, καὶ ἐν τῷ μεγάλῳ κινδύνῳ, τῷ πρὸς Ῥωμαίους, ἐπισχεῖν κοινῇ συμπράττουσαν καὶ διακωλῦσαι τὴν τῆς Ἑλλάδος πτῶσιν· καίτοι γὰρ οὕτω δεινῶς διῄρητο

καὶ ἐκδεδιήτητο καὶ μόνη πρὸς Ῥωμαίους ἐπολέμει, ἦν ὅμως ἔτι αὐτοῖς ἐπίφοβος, οἵπερ πρὸ πολλοῦ τὴν ἄλλην Ἑλλάδα χειρωσάμενοι, χαλεπῶς πάνυ, μετὰ τριετῆ καταστρεπτικὸν ἀγῶνα ἴσχυσαν καὶ τὴν Κρήτην ὑφ' ἑαυτοὺς ποιήσασθαι κατὰ τὸ ἔτος 67 π. Χ. [1])

Οὕτω μήπω εἰδυῖα ἡ Κρήτη μήτ' ἐπιχώριον, μήτε ὀθνεῖον ζυγόν, ἐγένετο τελευταία τῶν Ἑλληνικῶν χωρῶν λεία τοῖς Ῥωμαίοις. ἀλλὰ καὶ μετὰ τὴν Ῥωμαϊκὴν κατάκτησιν ἦσαν οἱ Κρῆτες εὐδόκιμοι ἐν τοῖς ὅπλοις καὶ πρὸς ἀνεξαρτησίαν ἔρρεπον. ἐπὶ δὲ τῆς Βενετοκρατίας, τῆς ἄλλης Ἑλλάδος ἀπρακτούσης, οἱ Κρῆτες μόνοι ἐπάλαιον τοῖς ἐν τῷ τοῦ Ἀδρίᾳ μυχῷ Ῥωμαϊκοῖς διαδόχοις ἐπὶ 158 ἔτη (ἀπὸ τοῦ 1207 μ. Χ. μέχρι τοῦ 1361). ἐναυσθέντος δ' ἐν τῷ τῆς τυραννίας εἰδώλῳ τοῦ μεγάλου ἐκείνου καὶ οὐρανομήκους πυρός, τῆς ἱερᾶς ἡμῶν κατὰ τὸ 1821 ἐπαναστάσεως, τοῦ τὰς καρδίας τῶν Ἑλλήνων ἀπὸ τοῦ ἑνὸς μέχρι τοῦ ἑτέρου Ἑλληνικοῦ πόλου ἐκπυρώσαντος, ἀπεδύσαντο μὲν καὶ οἱ Κρῆτες πρὸς τὴν ἔντιμον σταδιοδρομίαν καὶ διήνυσαν αὐτὴν ἐπ' ἐννέα ἔτη γενναίως τε καὶ καρτερῶς, ἀλλ' ἡ ἄσπλαγχνός τε καὶ ἄτεγκτος Διπλωματία οὐκ ἀντημείψατο τῇ ἐλευθερίᾳ καὶ τὴν τὸ εὐγενὲς πένταθλον ἀγωνισαμένην Μίνωος, Ῥαδαμάνθυος καὶ Ἰδομενέως πατρίδα! ἐκ τῶν κυριωτέρων δ' αἰτιῶν τῆς ὑπὸ τὸν δούλειον ζυγὸν αὖθις ὑπαγωγῆς τοῦ εὐγενοῦς τῆς Κρήτης τραχήλου ἦν τὸ μὴ ἀνάλογον πρὸς τὴν τῶν ἀρειμανίων αὐτῆς τέκνων πληθὺν τῶν πεπαιδευμένων καὶ πολιτικῶν ἀνδρῶν, ὧν ἔργον ἐστὶ τὸ ἐκεῖνα ἐν ταῖς κρισίμοις περιστάσεσιν ὁδηγεῖν καὶ ἐν τοῖς ἐκτὸς ἐκπροσωπεῖν [2]). οὕτω δ' ἀπέβη, ὥστε τοὺς Ἀγγλίας λειτουργοὺς Πὴλ καὶ Βελιγκτῶνα ἤτοι ἀκαμψίᾳ διπλωματικῇ ἢ ἀγνοίᾳ, εἰ τοῦτο δυνατόν, περὶ Κρήτης εἰπεῖν, τιθεμένων τῶν τοῦ Ἑλληνικοῦ Κράτους ὁρίων, μὴ εἰδέναι πάμπαν εἰ οἱ Κρῆτες ἀγωνίσαιντο! παντάλαινα Κρήτη, λεοντοθύμους ἔχουσα πολεμιστὰς καὶ τεράστια διαπραξαμένη οὐ μόνον οὐκ ηὐμοίρησας τοῦ τῆς ἐλευθερίας ἐπάθλου τυχεῖν,

1) Caecilius Metellus ingentibus proeliis intra trienium totam insulam cepit, legesque Minois Romanis legibus permutavit. Eutrop. IV, 11.

2) Ἐκ τοῦ μὴ ἀναλόγου τούτου καθορᾶται τὸ τῶν ἀγώνων μέγεθος καὶ ὁ διάπυρος πατριωτισμὸς τῶν πολιτικῶν τῆς Κρήτης τέκνων, οἷοι ἐγένοντο οἱ ἀοίδιμοι καὶ ἀείμνησοι Οἰκονόμος, Καλαμαρᾶς, Καλογέννητος, Ῥενιέρης, Ἀντωνιάδης καὶ λοιποί!

ἀλλ' οὐδ' ηὐτύχησας σελίδα μίαν ἐν τῇ ἱστορίᾳ κατασχεῖν![1])

Τὰ αἴτια οὖν, ἃ πάλαι οὕτω δεινῶς ἀνέστειλε τὴν γόνιμον δύναμιν τῶν ἐκ τῆς γεωγραφικῆς θέσεως καὶ εὐδαίμονος φύσεως πλεονεκτημάτων τῆς Κρήτης καὶ τὸν ἀποκείμενον τῇ φύσει τῶν περιστάσεων ἐκείνων προορισμὸν αὐτῆς, ἦν ἡ ἀντιζηλία ἡ ἐκ τῆς κατὰ πολλὰς πόλεις ῥήξεως καὶ διασπάσεως τῆς νήσου μετὰ τὴν τῆς βασιλείας κατάργησιν, καὶ ἡ ἐπαύξησις αὐτῆς τῇ τῶν Δωριέων ἐπελεύσει, καὶ αὐτῶν μὴ διαγαγόντων ἐν ὁμονοίᾳ καὶ συνδέσμῳ φυλετικῷ καὶ ἐκ τῆς διαφορᾶς τῆς φυλετικῆς τοῖς προτέροις κατόχοις τῆς νήσου

1) Καίπερ τούτου παντὶ γνωστοῦ ὄντος, προστίθημι ὅτι ἐν πολλοῖς ἄλλοις εἶδον ἐκ τοῦ παρατυχόντος τὴν γενικὴν τοῦ Γερμανοῦ Wolfgang Menzel ἱστορίαν, ἐν ᾗ ἐν τοῖς περὶ Ἑλληνικῆς ἐπαναστάσεως ἐλαχίστη τις καὶ ἐν παρόδῳ Κρήτης γίγνεται μνεία· φησί δέ που ὁ συγγραφεὺς (ὅρα τόμον 11, ἐν τέλει.), ὅτι οἱ ἐν Κρήτῃ ἐπαναστάται προσβληθέντες ἐν Ἀμουργέλαις διὰ πάντα τὸν χρόνον κατεθραύσθησαν! ἐν δὲ τῷ Κ. Μενδελσῶνος Βαρθόλδυος Καποδιστρίᾳ (Graf Johann Kapodistrias v. Dr. Karl Mendelssohn-Bartholdy, Berlin, 1864), ἔστι διϊδεῖν (ἐν σελ. 122—123), ὅτι αἱ διαπραττόμεναι ἐν Γραμβούσῃ πειρατεῖαι τοῖς Κρησὶ μόνοις σκοπίμως ἀπεδίδοντο, πρὸς ἐξουδένωσιν τῶν ὑπὲρ ἐλευθερίας δικαιοτάτων αὐτῶν ἀξιώσεων. οἱ φιλοδίκαιοι καὶ σοφοὶ Γερμανοὶ καὶ ἄλλοι Εὐρωπαῖοι ἰδέτωσαν τὴν γιγάντειον τῶν Κρητῶν ἐννεαέτη ὑπὲρ ἐλευθερίας πάλην ἐν τῇ τοῦ Κρητὸς Κ. Κριτοβουλίδου ἀξιολόγῳ ἱστορίᾳ τῇ Ἀγγλιστὶ μεθερμηνευθείσῃ ὑπὸ τοῦ διδάκτορος τῆς ἰατρικῆς Α. Ἰωαννίδου (Narrative of the Cretan War of Independence, editet by A. Joannides, London, 1863—1864). ἰδέτωσαν δὲ καὶ τὰς ὑφ' Ἑρρίκου Θειρσίου 'Τύχας τῆς Ἑλλάδος', ἐν αἷς τοῦ λόγου γενομένου ἐπὶ τὰ αἴτια τῆς καταθέσεως τῆς ἐν Ἑλλάδι ἀρχῆς ὑπὸ Λεοπόλδου τοῦ νῦν λαμπρῶς καὶ πατρικῶς ὄντως ἐν Βέλγαις βασιλεύοντος, ὁ συγγραφεὺς προστίθησι τοὺς ἀληθεῖς καὶ παρηγόρους τοῖς πολυάθλοις Κρησὶ τούτους λόγους· 'παρὰ τοῖς ἀγαθὰ ἐπαγγελλομένοις τούτοις ὁρισμοῖς περιεῖχε τὸ πρωτόκολλον (της 3 Φεβρουαρίου, 1830) ἕτερόν τινα ὅλως ἀλλοῖον χαρακτῆρα φέροντα. ἡ θαυμαστὴ Κρήτη, ἡ οὕτω τῷ τῆς ἐλευθερίας βωμῷ προσενεγκαμένη, ὡς οὐδεμία ἄλλη ἐπαρχία, ἡ καὶ ἐπὶ τῆς τοῦ πρωτοκόλλου τούτου συνομολογίας ἐν ἐπαναστάσει οὖσα καὶ μὴ κατηγωνισμένη, ἡ νῆσος, ἡ τὸ ἐμβαδὸν ἴση τῇ Πελοποννήσῳ, ἡ ἐν τῇ ἀρχαιότητι ἑκατόμπολις, καὶ ἡ Σάμος, ἡ νῆσος ἡ ἀπὸ τῆς τοῦ πολέμου ἐνάρξεως ἐλευθέρα τε ἀνακηρυχθεῖσα καὶ ἐλευθέρα διαμείνασα καὶ ἐν τῷ χρόνῳ τούτῳ ὑπὸ Λυκοῦργον Λογοθέτην τελείας ἀπολαύουσα ἀνεξαρτησίας ἀπεδόθησαν τῷ Ὀσμάνῃ, ᾧ καὶ νῦν ἔτι τούτου ἕνεκα ὑπόκεινται.' Griechenlands Schicksale, dargestellt durch Dr. Heinrich W. J. Thiersch, S. 60, Frankfurt am Main, 1863.

ἀντιτεθέντων, ὡς καὶ τούτων ἐκείνοις, ἐκ τούτων δ' οἱ ἀπροκήρυκτοι πόλεμοι καὶ ἐμφύλιοι σπαραγμοὶ σὺν τῇ καταργήσει τῶν ἐν τοῖς Δωριεῦσιν αὐστηρῶν νομίμων καὶ ἐθίμων καὶ τῇ πανωλέθρῳ πάσης κακίας καὶ διαφθορᾶς ἐπιδημήσει. ἀλλ' ἀποσαρώσαντος τοῦ τῆς ἀλλεπαλλήλου τυρραννίας σαρώθρου καὶ ἐν Κρήτῃ τὰς φυλετικὰς διακρίσεις καὶ ἐξισωσάσης τῆς κατακτητικῆς μαχαίρας πάσας τὰς ὑπ' αὐτὴν κεφαλὰς καὶ Δωριέων, καὶ Περιοίκων, καὶ Μνωϊτῶν, καὶ Ἀφαμιωτῶν ἢ Κλαρωτῶν, μηκέτι δ' ὑπαρχούσης Λύκτου, ἢ Κνωσοῦ, ἢ Γόρτυνος, ἢ Κυδωνίας, ἵν' οὕτω δικπληκτιζόμεναι ἐχθρὰ τῇ Πατρίδι πράττωσιν, ἀλλ' ὡς ἐν ἀχανεῖ ἐρήμῳ τάφου εὐρέος, ἐν ᾧ καθημαγμένη ἐγκύπτει ὁρῶσα καὶ ὀλοφυρομένη ἡ κάλλει ποτὲ διπρέπουσα Πατρὶς ἡμῶν, ἐξέλιπε τῇ πολυχρονίῳ ταύτῃ συμφορᾷ τὰ τῶν πάλλαι μεγάλων δεινῶν αἴτια, οὐδ' ἀνάγκη γε σκέπτεσθαι, εἰ δυνατὴ ἡ ἀπόφευξις καὶ πρόληψις αὐτῶν. ἀλλ' ἐπεί περ οὐ μικρὰ αἰτία τῆς εἰς τὸ δούλειον αὖθις ἦμαρ καταδίκης ἡμῶν ἐνέκειτο, ὡς εἴρηται, τῇ τῶν πεπαιδευμένων ἐκείνῃ σπάνει, νῦν ὅτ' ἐγγίζει ἡ φοβερά, ἀλλὰ καὶ ἱερὰ ἡμέρα, ἐν ᾗ πᾶσα αὐθαίρετος βούλησις κλινεῖ γόνυ πρὸ τοῦ μεγαλουργοῦ τῆς ἐποχῆς πεύματος, χρὴ ἡμᾶς, προωρισμένου ὄντος ἀναγεννηθῆναι ὡς ὁ μυθευόμενος φοίνιξ καὶ ἐκ τῶν ἐρειπίων ἀνεγεῖραι τὸ ἐθνικὸν ἡμῶν οἰκοδόμημα, τὸν νοῦν συντόνως προσέχειν, ὡς ὑπευθύνους ταῖς ἐπερχομέναις γενεαῖς, τῇ ὕλῃ καὶ τῷ ἐδάφει, ἃ δεῖ ἡμᾶς πορίσασθαι, ἃ ἐν ταῖς περιστάσεσιν, ἐν αἷς περ βιοῦμεν, ἐχέγγυά ἐστι στερρῶν θεμελίων καὶ λαμπροῦ οἰκοδομήματος. οἱ μόνοι δὲ θεμέλιοι καὶ ἀδιάσειστοι λίθοι περιβλέπτου οἰκοδομήματος καὶ ἐχέγγυοι ἀποτελεσματικῆς ὑπερησίας τῆς ἰδίας ἡμῶν Πατρίδος τῇ κοινῇ καὶ μεγάλῃ Μητρὶ τῇ καλῇ Ἑλλάδι, εἰσὶν ἥ τε χριστιανικὴ ἠθικὴ καὶ ἡ περὶ τοὺς πνευματικοὺς τῶν προγόνων θησαυροὺς καὶ τὰς ἐπιστήμας σπουδή, γενναίων γὰρ τέκων εὐμοιρεῖ φύσει ἡ τερπνὴ καὶ πολύζηλος Διός τε καὶ Μίνωος πατρίς. τῇ τῶν φώτων διαδόσει ἀνορθωθήσεται καὶ ἡ ἰδία ἡμῶν πατρίς, καὶ γιγνομένη ἐκ τῆς περιβλέπτου θέσεως καὶ τῶν ἄλλων αὐτῆς φυσικῶν πλεονεμτημάτων ἀρωγὸς καὶ ἀντιλήπτωρ σὺν τοῖς ἄλλοις γενναίοις τέκνοις τῇ κοινῇ Μητρὶ κατὰ τὸ μέγα στάδιον, ὃ δήπου αὖθις κέκληται αὕτη ἐν τῇ Ἀνατολῇ ἀγωνίσασθαι, πράγματι πρότυπον βασιλείου ἐν αὐτῇ γενομένη, δείξει τὴν ἀληθότητα τῆς φυλοσοφικῆς τε καὶ πο-

λιτικῆς τοῦ διδασκάλου τοῦ Μεγάλου Ἀλεξάνδρου ῥήσεως, ἀποφηναμένου, ὅτι ἡ Κρήτη δοκεῖ καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς.

Τοιοῦτον ἐν συνόψει τὸ τῆς Κρήτης παρελθόν, τοιαύτη καὶ ἡ τοῖς πράγμασι ποριζομένη ὁδὸς ἡ πρὸς αἴσιον μέλλον ἄγουσα. ἡ ὁδὸς αὕτη ἐστὶ μὲν τραχεῖα καὶ ἀνάντης, ἀλλ' ὁποῖα καὶ ἡλίκα προσκόμματα οὐχ ὑπερπηδᾶται τῇ πρὸς τοιούτου ἀγαθοῦ κτῆσιν καρτερίᾳ! οὐδεὶς δήπου λόγος ἐν τῇ τῶν πραγμάτων φύσει ἐστὶν ἐπιτάττων ὥστε τὸ μὴ χθές τε καὶ σήμερον περανθὲν μὴ δύνασθαι αὔριον ἀποτελεσθῆναι· ὁ τῶν ἐθνῶν βίος οὐ μετρεῖται ἀνθρωπίνης ἡλικίας μέτρῳ, ἀνάλογος αὐτῇ μόνον ἐστίν, ἀτελευτήτους γενεὰς ἐν ἑαυτῷ ἐγκλείων· δεῖ δὲ μᾶλλον ἡμᾶς θαρρεῖν ὁρῶντας, ὅτι οἱ τῆς Ἑλλάδος ἐχθροὶ πεπεισμένοι περὶ τοῦ ἐν τῷ μέλλοντι μεγαλείου αὐτῆς πειρῶνται καθ' ἑκάστην ἐπιβούλοις χερσὶν ὑποσκάπτειν τὰ ἐξ ὀστέων καὶ πολυτίμου αἵματος θεμέλια τοῦ ἐθνικοῦ ἡμῶν οἰκοδομήματος, οὕτω δὲ χρὴ ἡμᾶς προσδραμεῖν πλείονι καὶ συντονωτέρᾳ σπουδῇ ταῖς θείαις τῶν φώτων πηγαῖς, ἵν' ἐπαρκεῖς καὶ ἀκμαίας ἐντεῦθεν ἀντλοῦντες δυνάμεις χρησώμεθα αὐταῖς ἐν καιρῷ εὐθέτῳ ὑπὲρ τῆς ἐπιβουλευομένης Πατρίδος καὶ πρὸς ἀποτέλεσιν τοῦ ἔργου, ὅπερ βάσκανος δαίμων σκληρῶς ἀνέστειλεν. ὁ εἰς τὸν ἱερὸν τοῦτον σκοπὸν συμβαλλόμενος τὴν ἱερωτέραν ὡμολογημένως καὶ πολυτιμοτέραν τῷ τῆς Παρίδος βωμῷ προσκομίζει θυσίαν, διὸ καὶ εὐλόγως τῆς τε ἐθνικῆς εὐγνωμοσύνης καὶ τῆς τιμῆς καὶ τοῦ σεβασμοῦ τῶν συγχρόνων καὶ τῶν μεταγενεστέρων τυγχάνει.

Τίνι δ' ἄλλῳ ἠδυνάμην κἀγὼ πρὸς ἔνδειξιν γενικῆς καὶ ἰδίας εὐγνωμοσύνης δικαιότερόν τε καὶ προσφορώτερον ἀναθεῖναι τὴν συνοπτικὴν τήν δε περὶ τῶν τῆς Κρήτης λαῶν πραγματείαν ἢ τῷ μεγάλῳ πολίτῃ καὶ Πανελληνίῳ εὐεργέτῃ, τῷ ἐν Πετρουπόλει πατριώτῃ Δημητρίῳ Μπεναρδάκῃ; ὁ φιλογενὴς καὶ φιλόμουσος οὗτος ἀνὴρ εἴπερ τις καὶ ἄλλος κατανοήσας, ὡς μηδὲν πρὸς σωτηρίαν τῆς Πατρίδος χρησιμώτερον τῆς παιδείας φάρμακον, οὐδένα διακαέστερον πόθον καὶ σπουδαιότερον ἔχει μέλημα, ὡς τοῖς Πανελληνίοις εὐεργετήμασιν αὐτοῦ ἀριδήλως δείκνυται, ἢ τὴν τοῖς ἀκαταμαχήτοις τοῦ νοὸς ὅπλοις ἐξόπλισιν τῆς ἐθνικῆς νεότητος, ἐξ οὗ περ ἤρ-

τηται ἤτε εὔκλεια καὶ ἡ εὐδαιμονία τῆς Πατρίδος καὶ τῆς πολυάθλου γῆς, ἐν ᾗ τὰ ὀστᾶ τῶν πατέρων αὐτοῦ κεῖται.

Ἁρμόζοντες δεόντως τὴν ἡμετέραν προθυμίαν τε καὶ προσπάθειαν τῷ εὐγενεῖ τοῦ φιλοπάτριδος τούτου ἀνδρὸς ζήλῳ, τὴν μὲν πατρίδα ἡμῶν ταχέως ἐγεροῦμεν ἐκ τῶν ἐρειπίων, ὑφ' ἃ ἔθαψεν αὐτὴν ἡ τῶν δουλικῶν ἡμερῶν βαρβαρότης, τῇ δὲ μεγάλῃ Πατρίδι παρέξομεν ἀληθῶς συνδρομὴν ἀνάλογον τῇ περιβλέπτῳ θέσει καὶ τοῖς ἐξόχοις πλεονεκτήμασιν, οἷς ἡ πατρὶς ἡμῶν ὑπὸ τοῦ Δημιουργοῦ ἐδωρήθη.

---

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ - ΥΠΟΥΡΓ. ΕΣΩΤΕΡΙΚΩΝ

ΠΕΡΙ

# ΤΩΝ ΠΑΡ ΟΜΗΡΩΙ ΠΕΝΤΕ ΤΗΣ ΝΗΣΟΥ ΚΡΗΤΗΣ ΛΑΩΝ.

---

## *Ἡ νῆσος Κρήτη.*

*Κρήτη τις γαῖ' ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ*
*καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι*
*πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες,*
*ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,*
*ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,*
*Δωριέες τε τριχάικες δῖοί τε Πελασγοί.'*
*Ὁμήρου Ὀδύσσεια, Τ, 172.*

§ 1. *Τῆς πραγματείας τῆσδε ὑπόθεσίς ἐστιν ἡ ἔρευνα τῆς ἀρχῆς τῶν πέντε στοιχείων τῶν ἐπὶ τῶν Ὁμηρικῶν χρόνων τὸν ἐν Κρήτῃ λαὸν συνιστάντων. πρὶν δ' ἡμᾶς αὐτῆς ἄρξασθαι, δέον ὀλίγ' ἄττα περί τε τῆς γεωγραφικῆς θέσεως καὶ τῆς φυσικῆς τῆς νήσου ποιότητος εἰπεῖν, ἐφ' ἧς οἱ λαοὶ οὗτοι ἐβίωσαν.*

§ 2. *Ἡ Κρήτη τοίνυν ἐστὶ τῶν μεγίστων τῆς Μεσογείου νήσων· κεῖται δὲ μεταξὺ τῆς 35ης καὶ τῆς 36ης μοίρας βορείου πλάτους καὶ τῆς 22ης μέχρι τῆς 24ης ἀνατολικοῦ μήκους. περιβρέχεται δ' ἀπ' ἄρκτου μὲν καὶ ἀνατολῶν ὑπὸ τοῦ Αἰγαίου, ἀπὸ μεσημβρίας δὲ καὶ δυσμῶν ὑπὸ τοῦ Λιβυκοῦ πελάγους. ἔστι δ' ἐπιμήκης, καὶ ἀπ' ἀνατολῶν πρὸς δυσμὰς προήκουσα ἔχει μῆκος 2500 περίπου σταδίων*[1]). *τὸ μεῖζον τῆς ἐπιφανείας αὐτῆς ὄρεσι καλύπτεται, δι' ὅπερ τραχεῖα καὶ δύσβατός ἐστιν,*

1) *Ὅρα Στράβ* X, 474 *κτέ. Δικαίαρχος καὶ Σκύλαξ τὸ αὐτὸ μῆκος παραδέχονται* (*ὅρα Σκύλ. περ.* 17, 18, 56; *Δικ. σελ.* 24)· *Πλίνιος δ' ἐλαττοῖ τοῦτο σταδίοις διακοσίοις . οἱ δὲ καθ' ἡμᾶς γεωγράφοι φασὶν εἶναι τὴν Κρήτην* 455 *μιλίων Ἰταλικῶν τὴν περιφέρειαν* (*ἢ* 114 *περίπου Γερμανικῶν*), 215 *τὸ μῆκος, καὶ* 45 *τὸ πλάτος τὸ μέγιστον, τὸ ἐν τῷ μέσῳ τῆς νήσου. ὅρα καὶ* Hoeck's Kreta 1, 1—3. — *Νεωστὶ ὁ Ἀγγλικὸς πλοίαρχος Σπράττιος τὴν Κρήτην περιπλεύσας τε καὶ περιγράψας, φησὶν αὐτὴν μῆκος μὲν ἔχειν* 145 *Ἀγγλικῶν μιλίων, μέγιστον δὲ πλάτος* 33, *ἐλάχιστον δὲ* 7 *περίπου.* Travels and Researches in Crete. By Capitain T. A. B. Spratt. London, Van Voorst 1865.

ὡς καὶ Πλάτων φησί[1]· τὰ ὑψηλότερα δὲ τῶν ὀρέων, ἅπερ θεωρητέα καὶ ὡς ὑπερέχουσαι κορυφαὶ τῆς κατὰ μῆκος τὴν νῆσον διατεμνούσης ὀρεινῆς γραμμῆς, εἰσιν ἡ Δίκτη (νῦν Λασίθι) πρὸς ἀνατολάς, ἥπερ ὡς στέφανος κάλλιστος τὴν καλλίστην τῆς νήσου πεδιάδα περιστέφει, ἐξ ἧς πάλαι ἥτε ὑπὸ τὰς βορειοδυτικὰς ὑπωρείας τοῦ ὄρους κειμένη μεγαλόπολις Λύκτος καὶ ἄλλαι πολλαὶ τῶν πέριξ ἐσιτίζοντο καὶ ὅπου καθ' Ἡσίοδον[2]) Ῥέα ἡ μεγάλη μήτηρ Δία τεκεῖν ἐπέμφθη[3]). τὰ Λευκὰ (νῦν Σφακία) πρὸς δυσμὰς[4]), ἀμφότερα μικρὸν τὸ ὕψος ἀποδέοντα τοῦ Ταϋγέτου[5]). μεταξὺ δ' αὐτῶν καὶ κατὰ τὸ μέσον περίπου καὶ τὸ εὐρύτερον τῆς νήσου αἴρεται ἡ Ἴδη (νῦν Ψηλορίτης), τὸ ὕψιστον τῶν ὀρέων αὐτῆς σταυροειδῶς ἢ χιαστῶς τέσσαρας κλάδους διαπέμπον, ἀνατολικῶς, βορειοανατολικῶς, δυτικῶς καὶ νοτιοδυτικῶς[6]). ἐκ τοῦ τῆς νήσου δ' ὀρεινοῦ προήκει ἐπὶ τὴν βόρειον τὸ πλεῖστον θάλασσαν πολλὰ ἀκρωτήρια, ὧν μείζω ἐστὶ τὸ Σαλμώνιον (νῦν Σολομὸν) ἐν τῇ ἄκρᾳ τῆς καθ' ἡμᾶς ἀνατολικῆς ἐπαρχίας Σιτίας, τὸ Δρέπανον (νῦν Μελέχα ἢ Ἀκρωτῆρι) κατὰ τό μέσον περίπου τοῦ πρὸς δυσμὰς ἡμίσεος τῆς νήσου, τὸ Δικτύνναιον (νῦν Σπάθας) ἐν ταῖς

1) ʽΤὴν γὰρ τῆς χώρας Κρήτης φύσιν ὁρᾶτε, ὡς οὐκ ἔστι, καθάπερ ἡ τῶν Θετταλῶν πεδιάς. διὸ δὴ καὶ τοῖς ἵπποις ἐκεῖνοι χρῶνται μᾶλλον, δρόμοισι δὲ ἡμεῖς· ἥδε γὰρ ἀνώμαλος αὖ καὶ πρὸς τὴν πεζῇ δρόμων ἄσκησιν μᾶλλον σύμμετρος.' Πλάτ. Νόμ. β. 1.

2) Ὅρα Θεογον. 447, ʽἐς Δίκτην, ἐς πίονα δῆμον.'

3) Ὅρα καὶ Hoeck, I, 13 κτέ.

4) Ἐν τοῖς ὄρεσι τούτοις, τοῖς πάντοθεν δυσπροσόδοις καὶ δυσπροσίτοις, οἰκοῦσι νῦν οἱ Σφακιανοὶ ἢ Σφακιῶται, ἀπόγονοί γε τῶν πάλαι Δωριέων· πλὴν γὰρ τῶν κατὰ τὰς ἀνατολικὰς αὐτῶν ὑπωρείας κειμένων, πόλεων Λάππας ἢ Λάμπης καὶ Τάρρας, καὶ τῆς κατὰ τὰς δυτικὰς Ἐλύρου, καὶ τῶν τριῶν οὐσῶν Δωρικῶν (Hoeck, II, 438 καὶ 439, καὶ I, 387 καὶ 388, 27 καὶ 28), οἱ ὀρεσίβιοι οὗτοι λαοὶ διέσωσαν τὴν ἐν βίῳ Δωρικὴν δίαιταν, ἀνεξάρτητοι ἀεὶ ἀπὸ τῶν κατὰ καιροὺς τῆς νήσου κατακτητῶν διατελέσαντες καὶ αὐτόνομοι. κατὰ τὸν ἱερὸν δ' ὑπὲρ ἐλευθερίας ἀγῶνα τῶν Ἑλλήνων ἠγωνίσαντο ἐν τοῖς κάλλιστα καὶ ἄριστα, ἀρχηγοὶ γενόμενοι, οἷά περ ἐν τοῖς ὅπλοις δόκιμοι καὶ εὐθαρσάτεροι, τῶν ἄλλων τῆς νήσου Ἑλληνικῶν λαῶν ἐν τῷ τῆς τιμῆς καὶ τοῦ καθήκοντος σταδίῳ κατὰ τὴν τῆς Ἑλληνικῆς ἐπαναστάσως ἔκρηξιν. καὶ νῦν δ' αὐτονομοῦνται καί εἰσι λίαν φιλοπάτριδες, φιλόξενοι καὶ φιλόμουσοι, ἱδρυσάμενοι κατὰ κώμας στοιχειώδη σχολεῖα καὶ ἓν ἀνώτερον δαπάναις τοῦ ἐν Πετρουπόλει ζαπλούτου Κρητὸς καὶ μεγάλου τῆς Ἑλλάδος εὐεργέτου Δημητρίου Μπεναρδάκη, ἐν ᾧ λίαν εὐδοκίμως πρὸς τοῖς ἄλλοις ἐγκυκλίοις μαθήμασι καὶ ἡ τῶν προγόνων γλῶσσα διδάσκεται. περὶ τῶν Σφακιωτῶν τούτων ὅρα καὶ Hoeck, I, 20, καὶ Savary ἐπιστολὴν ιθ'. τῆς Ἑλληνικῆς μεταφράσεως ὑπὸ Ν. Γ. Ζυγομαλᾶ, ἐν Ἀθήναις, 1845.

5) Ὅρα Hoeck, I, 19—21.

6) Hoeck, I, 4—6 κτέ. — Ἐπὶ τοῦ ὄρους τούτου οἰκεῖ νῦν λαὸς ποιμενικὸς καὶ μάχιμος, ὃς τοῦ ὀρεινοῦ ἕνεκα ἐνδιαιτήματος διέσωσεν ἀμιγῆ τε καὶ καθαρὰ τὰ ἀρχαῖα ἤθη καὶ ἔθιμα. ὁρῶν τις τοὺς ὀρεσιβίους τούτους οἴεται τοὺς τραχεῖς καὶ σοβαροὺς Δωριεῖς ὁρᾶν, ἀκούων δ' αὐτῶν διαλεγομένων, αἰσθάνεται πρὸς τῇ ἀμιγεῖ αὐτῶν Ἑλληνικῇ γλώσσῃ καὶ τῆς ἐπὶ τῶν μακρῶν φθόγγων τάσεως τῆς φωνῆς ἐν τῷ ἀπαγγέλλειν. οὗτοι καλοῦνται νῦν ἐπιχωρίως Ἀνωγειανοὶ ἐκ τῆς κωμοπόλεως Ἀνωγείων.

βορειοδυτικαῖς ἀκταῖς· ἐπὶ δέ τῆς μεσημβρινῆς παραλίας τὰ μᾶλλον ἐπὶ τὴν θάλασσαν τὴν Λιβυκὴν προήκοντά ἐστι τὸ Κριοῦ Μέτωπον (νῦν ἅγιος Ἰωάννης) κατὰ τήν νοτιοδυτικήν ἀκτὴν καὶ τὸ Μέταλλον (νῦν Μάταλλα) ἐν τῷ μέσῳ περίπου τῆς παραλίας ταύτης. πάντες σχεδὸν οἱ τῆς νήσου λιμένες κεῖνται ἐν τῇ βορείῳ παραλίᾳ ἕνεκα τῶν κατ' αὐτὴν προηκόντων τὸ πλεῖστον μεγάλων τε καὶ μικρῶν ἀκρωτηρίων, οἱ πλείους δ' ὑπόκεινται ταῖς προσβολαῖς τῶν ἐκεῖ πνεόντων ἀπὸ βορρᾶ ἀνέμων, ἀσφαλέστατοι δὲ καὶ μέγιστοί εἰσιν ὁ Ἀμφιμαλλικὸς (νῦν Σούδα) κατὰ τὸ μέσον τοῦ δυτικοῦ ἡμίσεος τῆς νήσου[1]) καὶ ὁ τῆς Λατοῦς (νῦν Σπιναλόγγας), κείμενος ἐν τῷ τέρματι τοῦ πρώτου ἀπ' ἀνατολῶν πέμπτου τῆς νήσου· οἱ λιμένες δ' οὗτοι ἦσαν ἂν κόλποι γεωγραφικῶς τε καὶ φυσικῶς, εἰ μὴ ἡ στενὴ εἴσοδος τὴν ἰδιότητα ταύτην αὐτοῖς παρεῖχε. ποταμοὺς πλωΐμους οὐκ ἔχει ἡ νῆσος, οὐ γὰρ ἀπ' ἀλλήλων πολὺ διέχουσιν ἥ τε βόρειος καὶ νότιος παραλία αὐτῆς ἐπιμήκους οὔσης· τούτων δὲ δύναται ἐνταῦθα μόνος ὁ Ληθαῖος (νῦν Γερωπόταμος) λεχθῆναι, ὃς ἐκπηγάζων βορειοανατολικῶς, μεταξὺ Δικταίων ὀρέων καὶ τοῦ ἀνατολικοῦ τῆς Ἴδης κλάδου, ῥεῖ νοτιοδυτικῶς καὶ διατρέχων τὴν μείζονα καὶ εὐφορωτέραν τῶν τῆς νήσου πεδιάδων (τὴν νῦν Μεσσαράν), τὴν τῆς τειχιοέσσης καθ' Ὅμηρον Γόρτυνος, ἥν παρέρρει[2]), ἐκβάλλει ἐν τῷ Λιβυκῷ πελάγει. ἐκ τῆς ὁρμητικῆς δὲ τῶν ὑδάτων καταφορᾶς καὶ τῆς μετὰ μικρὸν εἰς τὴν θάλασσαν αὐτῶν ἐκβολῆς, τῆς ἐκ τοῦ ὡς ἐπὶ πλεῖστον ἐπικλινοῦς τοῦ ἐδάφους ἀπὸ τῆς ἐν τῷ μέσῳ σειρᾶς τῶν ὀρέων μέχρις ἀμφοτέρων τῶν παραλιῶν, οὐκ ἔχει ἡ νῆσος λίμνας οὔτε στάσιμα ὕδατα καὶ πρὸς τὴν ὑγιείαν ἐπιβλαβῆ[3])· ἡ μόνη δὲ δυναμένη λίμνη κληθῆναί ἐστιν ἡ τοι Κορίου (νῦν Κουρνᾶ), ἔχουσα 450 βημάτων περιφέρειαν καὶ ἀφισταμένη τοῦ πρὸς βορρᾶν Ἀμφιμαλλικοῦ κόλπου δισχίλια βήματα[4]).

§ 3. Καίτοι δὲ κατέχει ἡ Κρήτη κατὰ τὸ γεωγραφικὸν πλάτος τὰ νοτιώτατα τῆς εὐκράτου ζώνης, κλίνουσα πρὸς τὴν διακεκαυμένην, τὴν Λιβυκήν, ἀλλά γε ἐν τῷ μέσῳ τῶν τριῶν ἠπείρων τοῦ παλαιοῦ κόσμου κειμένη διαπνεῖται τοῖς ἀνέμοις, καὶ δὴ τῷ ἀπὸ τοῦ Αἰγαίου ἐπιπνέοντι βορρᾷ· καὶ αὐτὸς δ' ὁ Λίψ ἧττον θερμὸς γίγνεται τὴν τῆς Λιβύης διερχόμενος θάλασσαν. τούτου γ' ἕνεκα ὁ ἀὴρ αὐτῆς ζωογόνος ἐστί, τὸ δὲ κλίμα εὐκραέστατον καὶ ὁ ὁρίζων πάνυ λαμπρός[5]). τὰ δ'

1) Ὅρα καὶ Hoeck, I, 44, καὶ τὴν ὑποσημείωσιν. — ὁ κόλπος ἐκλήθη οὕτω τὸ πάλαι ἀπὸ τῆς ἐν αὐτῷ πόλεως Ἀμφιμάλλων ἢ Ἀμφιμαλλίου ἢ Ἀμφιμάλλης. ὅρα Στέφ. Βυζ. ἐν λ. Plin. hist. nat. IV, 12. 20. Πτολ. III, 16. παράβαλε καὶ Paschley, Travels in Crete, London, 1837, I, p. 70 κτέ.

2) Ὅρα Hooek, I, 8 καὶ 10. 3) Ὅρα τὸν αὐτόν I, 30.

4) Στέφανος ὁ Βυζάντιος ποιεῖται μνείαν κώμης τινὸς Κορίου μετὰ ναοῦ Ἀθηνᾶς Κορησίας παρὰ λίμνῃ ἀπ' ἐκείνης Κορησίᾳ κληθείσῃ, οὐ μακρὰν δὲ τῆς θαλάσσης κειμένῃ. ὅρα Στέφ. ἐν λ. παράβαλε καὶ Cicero de nat. Deor. III, 23, καὶ Paschley, I, 71 κτέ. 5) Ὅρα Hoeck, I, 29—30.

ἄφθονα, κατάψυχρα, διαυγέστατα καὶ ὑγιεινὰ αὐτῆς ὕδατα[1]), ἡ ἄγαν τῆς γῆς γονιμότης[2]), τὰ πολυειδῆ καὶ τὴν ποιότητα ἄριστα προϊόντα[3]),αἱ πλούσιαι νομαί, ἥ τε τερπνὴ καὶ εὐάρεστος τῶν τόπων θέσις, τὸ κατάφυτον ἐλαίαις, ἀμπέλοις, κιτριαῖς, κιτρομηλέαις[4]), ἀμυγδαλαῖς, κασταναϊκαῖς δρυσί, συκαῖς καὶ ἄλλοις ἐν μεγάλῳ ἀριθμῷ ὀπωροφόροις δένδρεσιν ἔδαφος, ταῦτα καὶ ἕτερα φυσικὰ πλεονεκτήματα ἐποίουν[5]) καὶ νῦν ἔτι ποιοῦσι τὴν Κρήτην κηπονέαρος διηνεκοῦς· ἐν παντὶ γὰρ βήματι τερπνά τε καὶ εὐάρεστα ὁρᾶται ἀντικείμενα, ἀεὶ τῷ ἀνθρώπῳ ἐμποιοῦντα ἡδονὴν καὶ θαυμασμὸν ἐνθουσιώδη[6]). τὰ φυσικὰ

1) Πρὸς τὴν δυτικονότιον τῆς Ἴδης πλευράν, μεταξὺ τῆς νῦν κώμης Θρόνου καὶ τοῦ μονστηρίου Ἀρκαδίου ἐστὶ κρήνη, ἧς τὸ ὕδωρ καλοῦσι νῦν ἐπιχωρίως ʽνερὸν τῆς Πέτραςʼ. τὸ ὕδωρ τοῦτο περίφημόν ἐστιν ἐν τῇ νήσῳ ὡς διαλῦον τὸν ἐκ τῆς λιθιάσεως νόσου λίθον, ὁ δὲ τῆς κρήνης σωλὴν ξύλῳ πεποίηται, λίθινος γὰρ ποιηθεὶς ἀπετρίβη. ὅρα Κρητικά, ὑπὸ Μ. Χουρμούζη Βυζαντίου, ἐν Ἀθήναις, 1842, ἐξ ὧν ἠρύσατο καὶ C. Wachsmuth ἐν τῇ τοῦ συγγραμματίου συντάξει, „Das alte Griechenland im neuen," 1864.

2) Ἡ τῆς γῆς γονιμότης, καί περ κάκιστα νῦν τῆς ἐν Κρήτῃ γεωργίας ἐχούσης, ἐστὶν ἀπίθανος, ἓν γὰρ ἀποφέρει τεσσαράκοντα μέχρις ἑξήκοντα. ὅρα καὶ Κρητικὰ Χουρμούζη, σελ. 7, καὶ Hoeck, I, 33. — Γνωστὸν δ' ὅτι ἡ νῆσος ἔτι τοῖς Τούρκοις ὑπόκειται, καί πέρ γε ὡς ἡ ἄλλη νῦν ἐλευθέρα Ἑλλὰς ἐπ' ἔτη ἐννέα ὑπὲρ ἐλευθερίας ἀγωνισαμένη καὶ ὡς ὁλοκαύτωμα τῷ τῆς κοινῆς Πατρίδος βωμῷ περὶ τὰς 150 χιλιάδας ψυχῶν προσενεγκαμένη, συγκαταλεγομένων αὐταῖς καὶ τῶν σφαγαῖς καὶ λεηλασίαις, λιμῷ καὶ λοιμῷ καὶ αἰχμαλωσίᾳ ἀπολεσθεισῶν· ἦν δ' ἐλευθέρα μέχρι τῆς 12 Φεβρουαρίου, 1830, ὅτε τὴν ἀρχὴν ἀπείπατο ἀποθέμενος τὸ προσενεχθὲν αὐτῷ Ἑλληνικὸν διάδημα Λεοπόλδος ὁ νῦν Βελγῶν βασιλεύς· καί περ γὰρ συνθεμένων τῶν τριῶν μεγάλων Δυνάμεων αὐτῷ καὶ τὴν Κρήτην προσαρτῆσαι τῇ Ἑλλάδι, ὅμως γ' ἀπεκλείσθη αὕτη τῆς ἐλευθερίας ταῖς διπλωματικαῖς ἰδίως τῶν Ἀγγλίας ἀρχιλειτουργῶν Πηήλου καὶ Βελιγκτῶνος κατασκευαῖς! ἀλλ' οὐ παύεται συνεχῶς καὶ ὑπὲρ πᾶσαν ἄλλην Ἑλληνικὴν γῆν τὴν τῆς ἐλευθερίας σημαίαν αἴρουσα καὶ ὑπὲρ τῆς ἀνακτήσεως τῶν ἀνθρωπίνων δικαιωμάτων αὐτῆς ἀγωνιζομένη, ὧν τὴν ἀπόδοσιν ἠρνήσατο αὐτῇ ἀεὶ ἡ ἄκαμπτος καὶ ἄσπλαγχνος διπλωματία. κατοικεῖται νῦν ὑπὸ πλειόνων τῶν 300 χιλιάδων ψυχῶν, ὧν τὸ πέμπτον Τοῦρκοί εἰσι, μὴ εἰδότες καὶ αὐτοὶ ἄλλως ἢ Ἑλληνιστὶ διαλέγεσθαι.

3) Ὅρα καὶ Hoeck, I, 33—34. E. Curtius gr. Gesch. I, 144 καὶ Κρητικὰ Χουρμούζη, σελ. 7—8.

4) Αὗταί εἰσιν αἱ καὶ Μηδικαὶ ἢ Περσικαὶ μηλέαι καλούμεναι (ἐπιχωρίως νῦν πορτογαλλέαι)· αἱ ὀπῶραι αὐτῶν ὡς καὶ αἱ τῶν κασταναϊκῶν δρυῶν (τὰ λόπιμα κάρυα) ἀνὰ πᾶσαν τὴν νῦν Ἑλλάδα καὶ Τουρκίαν τῷ τε πλήθει καὶ τῇ ἀρίστῃ ποιότητι περίπυστοί εἰσιν.

5) Ὅρα καὶ Hoeck, I, 31—35 κτέ.

6) Οἱ τῶν Εὐρωπαϊκῶν Δυνάμεων πρόξενοι, ἔμποροί τε καὶ περιηγηταὶ ὁμολογοῦσιν ὡς οὐδεμία ὑπὸ τὸ αὐτὸ γεωγραφικὸν πλάτος κειμένη χώρα πρὸς τῇ φυσικῇ καλλονῇ καὶ εὐφορίᾳ παραγωγικωτέρα τῆς Κρήτης ἂν ἦν, εἰ ἐπεβοήθει τούτοις ἥ τε τέχνη καὶ ἡ ἐπιστήμη. ἀλλὰ φεῦ! οὕτως εἰσέτι εὐδοκεῖ περὶ τῆς βασιλίδος τῆς Μεσογείου (ὅρα Hoeck, I, 44.) ἡ ἄκαμπτος διπλωματία! περὶ πνευματικῆς προόδου περιττὸς πᾶς λόγος, μὴ διαφέροντος τούτου τὸ παράπαν τῇ ἐγχωρίῳ ἀρχῇ. αἱ ἐν ταῖς πόλεσι Χριστιανικαὶ κοινότητες συντηροῦσιν ἐκ τῶν ἐνόντων μετὰ ζήλου σχολεῖά τινα, ἑνὸς δὲ τούτων ἐγὼ αὐτὸς ἐπὶ τετραετίαν ἐσχολάρχουν. καὶ ἐν ταῖς ἐπαρχίαις δὲ διαδίδοται ἡ ἐν τοῖς Ἑλληνικοῖς

*ταῦτα τῆς νήσου πλεονεκτήματα, γεωγραφικὴ θέσις κλίμα τε καὶ προϊόντα, προήγαγεν ὑλικῶς τε καὶ πνευματικῶς πρωϊμώτερον τῶν ἄλλων Ἑλλήνων τοὺς κατοίκους αὐτῆς*[1], *ἐφελκύσαντα ἐκ τῶν κύκλῳ καὶ πέριξ χωρῶν ἀποίκους*[2]. *εἰ δ' οὐ διετέλεσεν ἡ Κρήτη εὐδοκιμοῦσα ὡς τὰ δύο τῆς ἄλλης Ἑλλάδος μέρη, Πελοπόννησός τε καὶ Ἀττική, ἀποδοτέον ἴσως τῇ τε νησιωτικῇ ἀπομονώσει καὶ τῷ ἐκ παλαιοῦ τῶν πόλεων αὐτῆς πλήθει, καὶ δὴ τῇ ὑλικῇ τε καὶ ἠθικῇ ἰσοσταθμίᾳ τῶν τεσσάρων μεγαλοπόλεων Κνωσοῦ, Λύκτου, Γόρτυνος καὶ Κυδωνίας, αἵπερ μετὰ τὴν τῆς βασιλείας κατάργησιν ἀλλήλων μετὰ τὰ Τρωϊκὰ ἀποσπασθεῖσαι καὶ διαρραγεῖσαι τοῦ λοιποῦ, μηδενὸς ἰσχυροῦ ἐν μέσῳ τὰς χεῖρας διασχόντος, οὐ προσεῖχον τὸν νοῦν τοῖς πέριξ αὐτῶν γιγνομένοις. τοῖς φυσικοῖς τούτοις πλεονεκτήμασι τῆς νήσου Ἀριστοτέλης ἀπιδών, καὶ τὴν προσήκουσάν γε αὐτῶν χρῆσιν προϋποθείς, δογματίζει περὶ τῆς ἀεὶ πολιτικῆς αὐτῆς σπουδαιότητος φάσκων, 'δοκεῖ ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς· πάσῃ γὰρ ἐπίκειται τῇ θαλάσσῃ, σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων'*[3]. *ἥ τε γὰρ ἐν μέσῳ τῶν τριῶν τοῦ παλαιοῦ κόσμου ἠπείρων αὐτῆς θέσις καὶ οἱ χωρητικώτατοι λιμένες εὐχερῆ ἄγαν ποιοῦσι τὴν τ' ἀναγωγὴν καὶ τὴν καταγωγὴν τῶν στόλων, οἵπερ δύνανται ἐκεῖθεν προσπλεῦσαι, ἔνθα περ ἀνάγκη τε καὶ περιστάσεις πολιτικαὶ παραπίπτουσι. ταῦτα τὰ πλεονεκτήματα συνήργησεν οὐ μικρὸν πρὸς τὴν εἰς αὖθις αὐτῆς ὑποδούλωσιν· ἑκάστη δὲ τῶν ἰσχυρῶν τῆς Εὐρώπης Δυνάμεων καὶ πρότερον ἐποφθαλμιῶσα τῷ φυσικῷ τούτῳ ἀπὸ νότου τῆς Ἑλλάδος ἐρύματι, νῦν ἔτι μᾶλλον ἐπιρρίπτει αὐτῇ βλέμματα βλοσυρά, ὅτε ὁ τῆς Σουέζης ἰσθμὸς ἐν Ἀφρικῇ διορύσσεται· ἀλλὰ τίς τὸ μέλλον οἶδε! τοσαῦτα περὶ τῆς γεωγραφικῆς θέσεως καὶ τῆς τοῦ ἐδάφους καὶ τοῦ κλίματος τῆς Κρήτης ποιότητος*[4].

*γράμμασι καὶ τοῖς ἄλλοις στοιχειώδεσι μαθήμασι παίδευσις, ἀλλὰ βραδέως, ὥς γε συνεισφοραῖς τοῦ πένητος λαοῦ καὶ ἐράνοις ὑποβασταζομένη. οἱ τῆς ἀρχαιότητος θησαυροί τε καὶ τὰ προγονικὰ κειμήλια ἔγκλειστα ἐν τοῖς τῆς γῆς ἐγκάτοις διατελοῦσιν, οἷον φεύγοντα τὴν ἐν δουλείᾳ ἀτμοσφαίρᾳ ἐμφάνειαν, ὡς παραυτίκα εἰς δουλείαν τοῖς κρατοῦσιν ἀπαχθησόμενα καὶ ἐξουδένωσιν· διὸ τῶν φιλοπόνων τε καὶ φιλομούσων οἱ μόχθοι πάνυ γλίσχρως ἢ οὐδόλως ἀνταμείβονται. πρὸ μικροῦ τὸ τοῦ γεωργοῦ ἄροτρον ἀνώρυξε τυχαίως κατὰ τὴν πόλιν Ἱεράπυτναν τρία ἀγάλματα (τὸ μὲν ἐκ τῶν Ἑλληνικῶν χρόνων, τὰ δ' ἕτερα ἐκ τῶν Ῥωμαϊκῶν)· τούτων τῶν ἀξίαν, ἣν προστασίας τινὸς παρ' εὐγενεῖ καὶ ἁρμοδίῳ κριτῇ τύχωσι, κατόπιν ὀψόμεθα.*

1) *Τεκμήρια τό τε ἐν τηλικοῦτον ἀρχαίοις χρόνοις πλῆθος τῶν ἐν αὐτῇ πόλεων, ὧν Ὅμηρος μόνην ἐν τοῖς αὐτοῦ ἔπεσι 'πόλιν μεγάλην' τὴν Κνωσὸν καλεῖ (Ὀδύσσ. Τ, 178.), τὴν δὲ Γόρτυνα 'τειχιόεσσαν' (Ἰλ. β, 646.), καὶ ὁ πρῶτος ἐν Ἕλλησι θαλασσοκράτωρ τε καὶ νομοθέτης βασιλεὺς αὐτῆς Μίνως· περὶ τούτων δ' ἐν εὐθέτῳ καιρῷ τὰ εἰκότα. ὅρα δὲ καὶ* C. Curtius, gr. Gesch. I, 59.

2) *Ὅρα* Hoeck, I, 44 *κτέ.*

3) *Ὅρα Ἀριστοτ. πολιτ.* II, 10.

4) *Ὅρα καὶ τὴν βραχεῖαν μέν, ἀλλὰ τερπνὴν λίαν, ἀληθῆ καὶ ἀκριβῆ*

§ 4. Μεταβῶμεν δὲ νῦν ἐπὶ τὴν ἔρευναν τῶν παρ' Ὁμήρῳ πέντε ἐν Κρήτῃ λαῶν, ἣ καὶ ἡ κυρία τῆσδε τῆς πραγματείας ὑπόθεσίς ἐστιν. ἐπεὶ δ' ἐκ προοιμίων φαμὲν τοὺς λαοὺς τούτους, πλὴν τῶν διὰ χρόνου πλήθους δυσερευνήτων Ἐτεοκρήτων, γνησίους Ἑλληνικοὺς εἶναι, ἔχοντας δηλαδὴ ἐκ τῆς αὐτῆς περ πηγῆς τὴν ἀρχήν, ἐξ ἧς σύμπαν ἀπέρρευσε τὸ Ἑλληνικόν, καὶ ἐν μικρῷ, οὕτω φάναι, παριστάντας ἐπὶ τῆς μικρᾶς τῆς Κρήτης ἠπείρου, κατὰ τὴν Ἐρνέστου Κουρτίου ἔκφρασιν [1]), ὅ, τι περ ἐν τῇ τῆς ἄλλης Ἑλλάδος χέρσῳ αἱ διάφοροι αὐτοῦ περίοδοι καὶ ἐποχαί, ἀναδραμούμεθα πρὸς τὴν πηγὴν ταύτην, ἵνα τῷ τε ῥοῒ καὶ τῇ κοινωνικῇ ἀνὰ πᾶσαν τὴν Ἑλληνικὴν χώραν πορείᾳ αὐτοῦ ἐκεῖθεν παρακολουθῶμεν καὶ τὸ ὁμογενὲς τοῦτο ἀποδεικνύωμεν, καὶ δὴ δυσχεραίνοντες καὶ τῇ φύσει τῶν ἐκτιθεμένων πρὸς τὴν τοιαύτην ἀπόδειξιν ἐπειγόμενοι.

§ 5. Ἀλλ' ὂν αὐτὸ καθ' αὐτὸ τὸ θέμα δυσχερές, δυσχερέστερον ἐλλείψει προσφόρων βοηθημάτων πρὸς ἐξομάλυνσιν τῶν τε συχνῶν καὶ πυκνῶν προσκομμάτων γίγνεται. τὸ γὰρ διὰ χρόνου πλῆθος σκότος δυσδιαφώτιστον ἀποβαίνει τῇ τε τῶν πρὸς διαφώτισιν προσφόρων συγγραμμάτων ἀπωλείᾳ καὶ τῇ τῶν περιόντων ἀνεπαρκείᾳ, ἀντιλεγόντων πολλάκις ἀλλήλοις καὶ παραδόσεσιν ἐγχωρίοις τε καὶ δοξασίαις λογογράφων ἐνειλημμένων. πρὸς συνᾴδουσαν οὖν ὡς οἷόν τε τῇ ἀληθείᾳ ἔκθεσιν τῆς συγγενικῆς ἀρχῆς τῶν πέντε ἐκείνων ἐν Κρήτῃ λαῶν τῶν ὑφ' Ὁμήρου μνημονευομένων, οὐ μικρὸν δ' αὐτῶν τε καὶ τῆς νήσου, ἐφ' ἧς ᾤκουν, τοῦ ὅλου Ἑλληνικοῦ μέρος συνιστάντων, δέον μίτον λαβεῖν ἐν χερσίν, ὡς τὸν περὶ Ἀριάδνης καὶ Θησέως παραδιδόμενον, ἵνα τὸ λαβυρινθῶδες τοῦτο καὶ δυσδιέξιτον τῆς ἱστορίας μέρος διέλθωμεν.

§ 6. Ὁ μίτος δ' οὗτος ἐξ ἀνεπαρκῶν σύγκειται εἰδήσεων ἐν τοῖς Ὁμήρου ἔπεσι, τῷ παλαιτέρῳ τῶν περιόντων ἡμῖν Ἑλληνικῶν συγγραμμάτων [2]), περιεχομένων, καὶ ἐκ παραδόσεων καὶ φημῶν ὑπὸ συγγραφέων ἑκατονταετηρίδας πολλὰς βιωσάντων μετὰ τὴν Δωριέων ἐπιδρομὴν διασωθεισῶν. πόσῳ δ' ἐστὶ δυσχερὲς τὸ ἐκ τῶν βραχειῶν τούτων τοῦ Ποιητοῦ εἰδήσεων ἐξαγόμενον, καὶ ὕποπτον καὶ ἀκανθῶδες τὸ κοινούμενον ἡμῖν ταῖς παραδόσεσι καὶ ταῖς φήμαις τῶν πολὺ μεταγενεστέρων συγγραφέων, κατάδηλον· αἱ μὲν γὰρ παραλήψει καὶ οὐκ ἰδίᾳ ἀντιλήψει, ὡς αὐτός φησιν ὁ Ποιητὴς [3]), κοινοῦνται ἡμῖν, αἱ δὲ παραδόσεις οὖσαι, ἐν μύθοις ἐπιχωρίοις περιείληνται καὶ ἐξ ὑποκειμένου δοξασίαις, ἐξ ὧν δεῖ ἡμᾶς

περιγραφὴν τῆς θαυμαστῆς ταύτης νήσου ὑπ' Ε. Κουρτίου, gr. Gesch. I, 58 καὶ 114.

1) Ἔνθ' ἀνωτέρω.

2) «Ὅλως δὲ παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον κτέ.» Ἰώσηπος κατὰ Ἀπίωνος, 1, 2.

3) «Ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν, οὐδέ τι ἴδμεν.» Ἰλ. β, 486.

ἱστορικὸν συμπέρασμα διεξαγαγεῖν[1]). προήκει δ' αὔξουσα ἡ δυσχέρεια, εἰ πρὸς τούτοις ἀναλογισόμεθα, ὡς οἱ μὲν λογογράφοι, ἱστορικοὶ καὶ Ἀλεξανδρεινοί, οἱ τὰ τῶν παναρχαίων τῆς Ἑλλάδος χρόνων πραγματευσάμενοι, πολλὰς ἑκατονταετηρίδας αὐτῶν ἀφίσταντο· Ὅμηρος δὲ ποιητὴς ὢν οὐ νόμοις ἐξηναγκάζετο περὶ ἱστορικῆς τε καὶ χρονολιγικῆς ἀληθείας μεριμνᾶν, οὔθ' ἱστοριογράφος ἦν, οὔτε χρονογράφος, ἀλλὰ ποιητής, ἀρυόμενος μὲν ἐκ τῶν περὶ αὐτὸν τὰς πρώτας ἰδέας, ἀλλ' ἀλλοιῶν, οὕτω φάναι, καὶ ἀνάγων αὐτὰς εἰς τὸν τοῦ ἰδανικοῦ κόσμου χῶρον[2]), ὡς ὁ ἀριστοτέχνης ἀγαλματοποιὸς ὁ πρὸ αὐτοῦ μὲν ἄψυχον ὕλην καὶ γήϊνα ἀνθρώπων πρότυπα ἔχων, ἀλλ' ἔνθους καὶ θεόληπτος ὢν ταῖς περιλαμπούσαις τὸν δημιουργικὸν αὐτοῦ νοῦν φωτειναῖς τῆς θείας καλλονῆς ἀκτῖσιν ἐπιτυποῖ, ὅτ' ἂν ἐν στιγμῇ μυστηριώδει τὸ μεγαλουργὸν σχεδίασμα συλλαμβάνῃ, ἐπὶ τῆς ἀψύχου ὕλης σφραγῖδα, ἧς οἱ χαρακτῆρες καὶ αἱ γραμμαὶ τῷ τῆς ἰδανικῆς καὶ ἀφάτου καλλονῆς χώρῳ οἰκεῖαί εἰσιν, ὑπερπηδῶν οὕτω τὰ ὑλικὰ προσκόμματα, ὥστε ἡ πρώην δυσκατέργαστος ὕλη ἁγνὼς ἐκ τῆς θείας ταύτης μεταμορφώσεως ἀποβαίνει· διὸ καίπερ μὴ ὄντος τοῦ ποιητικοῦ ἔργου ἐκ μόνων μύθων συνυφάσματος, ὡς ἐπὶ γεγονότων ἑδραζομένου, ὅμως γε τῶν ἐν αὐτῷ περὶ κόσμου πρὸ πολλῶν ἑκατονταετηρίδων μὴ ὑπάρχοντος εἰδήσεων, καίπερ τοιούτων, ὡς αὐτὸς ἔφη, οὐσῶν οὕτω καὶ ὑπὸ τῆς ποιητικῆς φαντασίας μεταμεμορφωμένων, ὁ πραγματικὸς πυρὴν ἐν βυθῷ κεῖται, ἡ δ' εὕρεσις τοῦ ἐν αὐταῖς ἀληθοῦς Δηλίου κατὰ τὸ ἀρχαῖον λόγιον κολυμβητοῦ δεῖται. ἀλλὰ μὴ ἔχοντές γ' ἕτερον περὶ οὕτως ἀρχαίων γεγονότων μάρτυρα αὐτοῖς ἐγγύτερον τῶν Ὁμηρικῶν ἐπῶν, ἀνάγκη τὰς προσφόρους ἐξ αὐτῶν ἡμᾶς ἀρύεσθαι μαρτυρίας, καίπερ βραχείας καὶ ἀνεπαρκεῖς οὔσας, ἀναπληροῦντας ὡς οἷόν τε τὸ ἐλλεῖπον τοῖς τε μεταγενεστέροις τοῖς τὰ τῶν παναρχαίων τῆς Ἑλλάδος χρόνων πραγματευσαμένοις, Ἡσιόδῳ, Ἡροδότῳ, Θουκυδίδῃ, Διοδώρῳ, Στράβωνι, Παυσανίᾳ καὶ τοῖς ἄλλοις, καὶ τοῖς καθ' ἡμᾶς σοφοῖς τοῖς περὶ ταῦτα ἐγκύψασι.

§ 7. Τὰ Ὁμηρικὰ τοίνυν ἔπη παρέχει ἡμῖν χωρίον ξηρὸν μὲν καὶ δίχα προσδιορισμῶν εὑρέων, ἀλλά γε τὸν γενεαλογικόν, οὕτω φάναι, ἐγκλεῖον κατάλογον τῶν λαῶν τῶν ἐν Κρήτῃ ἀρχῆθεν οἰκησάντων καὶ μέχρι τῶν τοῦ Ποιητοῦ ἡμερῶν οἰκούντων· τὸ χωρίον δὲ τοῦτο δείκνυσι πρὸς τούτοις τό τ' ἔξοχον τῆς γεωγραφικῆς τῆς βασιλίδος τῆς Μεσογείου θέσεως καὶ

1) Ὅρα καί Hoeck, I, Vorrede, VI.

2) Κατὰ Ψευδοηρόδοτον δεῖ τὸν ποιητὴν ἢ ἐξευρεῖν καὶ πλάσαι ἐξ ἑαυτοῦ ἐλευθέρως ἰδανικόν τινα κόσμον, ἢ χρῆσθαι τῷ αὐτῷ γνωστῷ τε καὶ πραγματικῷ προϋπόθεσιν τοῦτον ποιοῦντα τῇ αὐτοῦ ποιήσει. 'ἄνδρα ποιητὴν τηλικοῦτον εἰκός ἐστι τῶν νομίμων τῶν παρὰ τοῖς ἀνθρώποις ποιοῦντα εἰς τὴν ποίησιν ἤτοι τὰ κάλλιστα ἐξευρόντα ποιέειν, ἢ τὰ ἑωυτοῦ πάτρια ἐόντα κτέ.' Ἡροδότου Ἁλικαρνασῆος περὶ τῆς Ὁμήρου γενέσιος καὶ βιοτῆς, 37.

τὸ πρώϊμον τῆς προόδου τῆς ἐν αὐτῇ βιωσάσης κοινωνίας· ἔχει δ' οὕτως,

> Κρήτη τις γαῖ' ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
> καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
> πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.
> ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,
> ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
> Δωριέες τε τριχάικες δῖοί τε Πελασγοὶ κτἑ.' Ὁμ. Ὀδύσσ. Τ, 172.

ἐν τοῖς στίχοις τούτοις ἑπόμενός γε ὁ Ποιητὴς τῇ τοῦ μέτρου ῥύμῃ, ἔταξε κατ' αὐτὸ τὰ ἐν Κρήτῃ φῦλα· ἀλλ' ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται ἡ χρονολογικὴ αὐτῶν σειρὰ οὕτως ἔχει,

Ἐτεόκρητες, Κύδωνες, Πελασγοί, Ἀχαιοί, Δωριεῖς·

τὰ μὲν γὰρ δύο ἐθεωρεῖτο, ὡς λεχθήσεται, αὐτόχθονά τε καὶ πρῶτα ἐν τῇ νήσῳ διὰ χρόνου πλῆθος, τὰ δ' ἕτερα τρία τὴν αὐτὴν χρονολογικὴν κατέχει τάξιν τὴν ἐν πάσῃ τῇ τοῦ Ἑλληνικοῦ ἔθνους ἱστορίᾳ ὁρωμένην[1]). κατὰ ταῦτ' οὖν πραγματευσόμεθα τὰ περὶ αὐτῶν ἀπὸ τῶν Ἐτεοκρήτων ἀρχόμενοι.

## Α'. Ἐτεόκρητες.

§ 8. Ἐν τοῖς ἀνωτέρω τοῦ Ὁμήρου στίχοις πρῶτον ἤδη ἀκούομεν περὶ λαοῦ πρωτείων ἀξίωσιν ἐπὶ τῆς Ἑλληνικῆς γῆς ἔχοντος καὶ πρὸ αὐτῶν ἔτι τῶν Πελασγῶν[2]). ἡ τοῦ λαοῦ τούτου ὕπαρξις ἀγγέλλεται μὲν ἡμῖν ὑπὸ τοῦ Ποιητοῦ ξηρῶς μόνῃ τῇ μετὰ τῶν τεσσάρων ἄλλων συγκαταριθμήσει, ἀλλά γε λίαν ἐμφατικῶς τῷ τε σχηματισμῷ καὶ τῇ σημασίᾳ τῆς λέξεως, καὶ τῇ φαινομένῃ πρὸς τοὺς Πελασγοὺς ἀντιθέσει, οἵ περ ὑπό τε ἀρχαίων καὶ νεωτέρων οἱ παναρχαῖοι τοῦ Ἑλληνικοῦ ἔθνους πρόγονοι εἶναι νομίζονται. εἰ δ' ἦν ἔτι πρὸ τῶν Πελασγῶν ἐπὶ τῆς Ἑλληνικῆς γῆς λαός τις ἕτερος, ἐφ' ἑνὸς δὲ μέρους αὐτῆς τῷ ὀνόματι Ἐτεόκρητες ἐκαλεῖτο, οὗτός γε τὴν κλῆσιν ταύτην ἔσχεν ἑτέροις ἐπήλυσιν ἀντιθέμενος[3])· τὸ γὰρ ὄνομα φιλαυτίαν τινὰ σημαῖνον, ἔοικε μᾶλλον ἐξ ὑποκειμένου εἶναι, ἀντίθεσιν ἄλλοις ἐπήλυσι παριστάν, οἷα καὶ ἀλλαχόθι τῆς Ἑλλάδος ἐγίγνετο τοῖς ἐπιθέτοις γηγενὴς καὶ προσέληνος, οἷς γε τὸ τῆς ἱστορίας τῶν πρώτων τῆς Ἑλλάδος λαῶν ὅριον σημαίνεται, οὗ πέραν οὐδεμία ἱστορικὴ γνῶσίς ἐστιν· οὐδενὸς γὰρ λαοῦ ἡ ἀρχὴ γιγνώσκεται, τότε δ' ὁ βίος αὐτοῦ ἐν χρόνῳ τε καὶ τόπῳ ἄρχεται, ὅτ' ἄλλοις ἐπιμιγεὶς αἰσθάνεται ἑαυτοῦ ἐκείνοις ἀντιτιθεμένου. τούτων οὕτως ἐχόντων, οἱ πρὸ τῶν Πελασγῶν τῆς Κρήτης τε καὶ τῆς ἄλλης Ἑλλάδος κάτοικοι μὴ ἀντιθέμενοι ἄλλοις προτέροις τῆς Ἑλληνικῆς γῆς κατόχοις οὐκ ἴσασιν ἕτερον περὶ τῆς ἰδίας τοῦ γένους ἀρχῆς τοῖς ἐπήλυσι Πελασγοῖς εἰπεῖν ἢ ὡς οὗτοι οἱ γνήσιοι Κρῆτες, Ἀρκάδες, Ἀττικοί εἰσι, δῆλα δὴ Ἐτεόκρστες, προσέληνοι, γη-

1) Ὅρα Gladstone's homerische Studien, frei bearbeitet von Dr. Albert Schuster, p. 1 καὶ 2, καὶ 72—74.

2) Gladst. hom. St. p. 21·

3) Ὅρα καί Hoeck, I, 139—143.

γενεῖς. ἀλλ᾽ ἐν τῇ ξηρᾷ λέξει Ἐτεόκρητες, ὧν οἱ ἀπόγονοι ἐπί τε τῶν ἡρωϊκῶν καὶ τῶν Ὁμηρικῶν χρόνων περιῆσαν, γλῶσσαν ἢ διάλεκτον ἀλλοίαν ἱέντες μεμιγμένην νῦν ταῖς ἄλλαις[1]) ταῖς καθαρῶς Ἑλληνικαῖς, ὑπαναίρεταί τις ἄκρα τοῦ πυκνοῦ πέπλου, ὅς τε τὴν παλαιτάτην ἐκείνην ἀρχαιότητα ἐπικαλύπτει καὶ ὑφ᾽ ὅν πολλάκις ὁ Ποιητὴς αἰνίττεται βίον λαῶν καὶ κοινωνίανδιὰ χρόνου πλῆθος ἀκαταλόγιστον, οἷα ἦν ἴσως ἡ τῶν Γιγάντων, τῶν Τιτάνων καὶ τῶν Κυκλώπων, ἡ τοῦ Ἄργου καὶ τοῦ Ἐρεχθέως. ἡ ἀρχὴ οὖν τοῦ Ἑλληνικοῦ λαοῦ ουκ εἰσιν οἱ Πελασγοί, οἱ ἥσυχοι ἤδη ποιμένες, θηρευταί, γεωργοὶ καὶ ἁλιεῖς, ἀλλ᾽ ἕτερός τις πρὸ αὐτῶν λαός, οἱ πρόγονοι τῶν Ὁμήρου μεγαλητόρων Ἐτεοκρήτων, οἱ προσέληνοι καὶ οἱ γηγενεῖς, οἷς ἐκεῖνοι ὡς ἐπήλυδες ἀντιτίθενται· ἴσως ἐστὶ τὸ πρῶτον τῶν τεσσάρων γενῶν τῶν ὑπὸ τοῦ ποιητοῦ τῶν Ἔργων καὶ Ἡμερῶν περιγραφομένων[2]), τοῦτό γ᾽ εἰκάζεται ἐκ τῆς φύσεως καὶ τῶν ἰδιοτήτων τῆς κοινωνίας, ἣν ἐν βάθει καὶ οὕτω φάναι μυστηριωδῶς ὁρῶσιν οἱ ποιηταί, παρ᾽ οἷς κοινωνία τις μὲν καὶ βίος ἀνθρώπων τε καὶ θεῶν εἰκονίζονται καὶ ἀλλήλοις ἐξομοιοῦνται. οὐδὲν μέντοι ἧττον ὑπεμφαίνονται ἐν αὐτοῖς βιωτικαὶ σχέσεις πολλῷ ἀρχαιότεραί τε καὶ τραχύτεραι τῶν ἐπὶ τῶν Τρωϊκῶν[3]). οἱ μεταγενέστεροι δὲ συγγραφεῖς λόγον περὶ τῶν Ἐτεοκρήτων ποιοῦντες, παραδέχονται μὲν αὐτοὺς αὐτόχθονας, ἰθαγενεῖς, γνησίους Κρῆτας, ἀλλ᾽ οὔ τι πλέον φασί[4]). διὸ ἡγούμεθα ὡς οὐκ ἄν εἴη ἄπο σκοποῦ, ἣν ἐνταῦθα τὴν Οἰκκίου γνώμην παραθῶμεν, φάσκοντος περίπου τὰ ἑξῆς, ἔνθα περὶ Πελασγῶν λόγον ποιεῖται[5]).

§ 9. *Αἱ Κυκλάδες*, αἱ Σποράδες καὶ αὐτὴ ἡ νῆσος Κρήτη συνείχοντό ποτε τῇ χέρσῳ Ἑλλάδι καὶ τῇ Μικρασίᾳ, ὑπὸ μεταβολῶν δὲ συνιζήσει τῆς γῆς καὶ ἐξάρσει τοῦ θαλασσίου πυθμένος τὰ διάφορα ταῦτα ἐγένετο νησιωτικὰ συστήματα, ἐκ κορυφῶν ὀρέων ὑπὲρ τὴν θαλασσίαν ἐπιφάνειαν ἐναπολειφθεισῶν. κατὰ τὸν συγγραφέα δ᾽ ἡ μὲν Κρήτη συνέχειά τίς ἐστι τοῦ νοτίου κλάδου τοῦ ἐν Μικρασίᾳ ὄρους Ταύρου,

1) ‘Ἄλλη δ᾽ ἄλλων γλῶσσα μεμιγμένη.’ Ὁμ. Ὀδύσσ. Τ, 175.

2) Ὅρα Ἡσιόδου Ἔργα καὶ Ἡμέραι, στ. 120—173.

3) Ὅμηρος διπλοῦν ἐν τοῖς αὐτοῦ ἔπεσι βίον ἐκτίθησι, τὸν ἐπὶ τῶν Τρωϊκῶν, ἐν ᾧ καὶ γενεάς τινας πρὸ αὐτῶν ἔστιν ἡμᾶς διϊδεῖν μετὰ βιωτικῶν γε σχέσεων τῶν κατ᾽ αὐτὸν ἀνθρώπων ἐκείναις ἐγκαταμεμιγμένων, μὴ ἀρνουμένους τὴν τοῦ ποιητοῦ ἀνθρωπίνην φύσιν, καὶ ἕτερον πολλῷ ἀρχαιότερον, ὅς ἱστορία θεῶν ὤν, προϊστορία τίς ἐστιν, οὕτω φάναι, τοῦ Ἑλληνικοῦ λαοῦ, μυστηριώδης δέ τις ὢν διὰ χρόνου πλῆθος συγχεῖται τοὺς χαρακτῆρας τοῖς τῆς ποιητικῆς φαντασίας πλάσμασιν. αὐτὸ τοῦτ᾽ ἔστι διιδεῖν ἡμᾶς καὶ ἐν τοῖς λεγομένοις Ἡσιοδείοις Ἔργοις καὶ Ἡμέραις.

4) Ὅρα Διόδωρον, V, 64. Εὐστάθ. ἐν Ἰλ. β. Στράβ. S, 728—729, ὅς φησι, ‘τοὺς μὲν οὖν Ἐτεόκρητας καὶ τοὺς Κύδωνας αὐτόχθονας ὑπάρξαι εἰκός, τοὺς δὲ λοιποὺς ἐπήλυδας.’

5) Hoeck, I, 150, ἐν ὑποσημειώσει.

αἵ δὲ γραμμῇ ἐνδελεχεῖ μεταξὺ Μικρασίας καὶ Κρήτης νῆσοι Ῥόδος, Κάρπαθος, Κάσος καὶ ἄλλαι ὡς τὰ συνδέοντα τὴν Κρήτην μετὰ τοῦ Ταύρου μέλη ἐοίκασιν εἶναι. ποιοῦσι δὲ πιθανωτέραν τὴν γνώμην ταύτην τὸ μὲν τὸ τοῦ Ταύρου ὕψος καὶ ἡ ἐκ τῆς συνιζήσεως τῆς γῆς ἥττων τῶν Κρητικῶν ὀρέων ὑψηλότης, τὸ δὲ τὸ τῶν ἀνατολικῶν τῆς Κρήτης καὶ τῶν ἀπέναντι κατὰ τὴν Λυκίαν τῆς Μικρασίας αὐτῶν σχῆμα[1]), ᾧ τεκμαίρεται ἀπ' ἀλλήλων ποτὲ τῶν μερῶν ἀπόσπασις, καὶ οἵ νῦν ἔτι συνεχῶς τὴν νῆσον καὶ τὰς ἀπέναντι Κυκλάδας Μῆλον καὶ Θήραν καὶ Ἀνάφην ταράττοντες σεισμοί[2]), ὑφ' ὧν αἵ πλείους ἐν τῇ ἀρχαιότητι τῶν μεσογείων τῆς Κρήτης πόλεων καὶ πολλαὶ τῶν παραλίων κατεβυθίσθησαν[3]). ἀλλ' ἀποδεχομένης τῆς Οἰκκίου γνώμης, οὐδέν ἐστι τὸ κωλύον, ὡς ἡγούμεθα, συναποδέξασθαι σύγχρονον ἀπὸ Πελοποννήσου κατὰ δυσμὰς ἀπόσπασιν· τὰ αὐτὰ γὰρ καὶ ἐνταῦθα καὶ ἔτι προφανέστερα φαινόμενα ὁρᾶται· ἥ τε γὰρ νῆσος ἐγγυτέρω τῇ Εὐρώπῃ ἢ τῇ Ἀσίᾳ κεῖται, καὶ ἡ σειρὰ τῶν ὀρέων αὐτῆς συνέχειά τις τοῦ Ταϋγέτου ἐστὶ λογισθῆναι, καὶ δὴ τὰ ἐν τῷ δυτικῷ τῆς νήσου Λευκὰ ὄρη, χθαμαλότερά τι ὄντα αὐτοῦ, τὸ δὲ Πελοποννησιακὸν ἀκρωτήριον Μαλέας τῷ σχηματιζομένῳ βορειοδυτικῶς κόλπῳ τῆς Κρήτης ὑπὸ τῶν ἀκρωτηρίων Κωρύκου καὶ Δικτυνναίου προσφυῶς ἐναρμόζεται· τούτοις δὲ προσθετέον καὶ τὰς νήσους, αἵ περ παρεμπίπτουσιν, ὃν τρόπον αἱ μεταξὺ αὐτῆς αὖθις καὶ τῆς Μικρασίας[4]).

§ 10. Καὶ οἱ ἀρχαῖοι δ' ἐδόξαζον τὸ τοῦ Αἰγαίου νησιωτικὸν σύμπλεγμα ὡς μέγα τι σύντριμμα καὶ ἐρείπιον, ὡς

1) Ὅρα Στράβ. XIV, 962 καὶ 982. — Τὰ κολπώματα καὶ τὰ ἀκρωτήρια τὰ τῇδε κείμενα φαίνεται ἀναρμοζόμενα τοῖς τῆς Κρήτης τοῖς ἀπέναντι οὖσι· τὸ δὲ τῶν ὑδάτων βάθος τῶν μεταξύ Κρήτης καὶ Μικρασίας ἴσον εὑρίσκεται τοῖς περὶ ταῦτα δεινοῖς.

2) Ἐν ἔτει 1857, ὅτ' ἐσχολάρχουν τῆς ἐν τῇ πόλει Χανίων σχολῆς, ἐγένετο ἐν μηνὶ Σεπτεμβρίῳ σεισμὸς δεινός τε καὶ καταστρεπτικός, ἀρξάμενος καὶ προήκων ἀπὸ τῆς πόλεως Ἡρακλείου (καλουμένου καὶ Μεγάλου-Κάστρου, οἷα ἰσχυροῦ καὶ μεγάλου Ἐνετικοῦ φρουρίου ὄντος, ὃ μικροῦ ἐδέησε τότε πᾶν κατερειπωθῆναι), κειμένου κατεναντίον τῆς νήσου Θήρας, ᾗ περ κατὰ τοὺς γεωλόγους τὸ τῆς Κτήτης μέσον δι' ὑπογείου σήραγγος ἡφαιστείως κοινωνεῖ.

3) Ἐν ἡμέρᾳ εὐδίῳ καὶ γαληναίᾳ τῆς θαλάσσης καταστάσει εἶδον ἐγὼ αὐτὸς κατὰ τὴν μεσημβρινὴν τοῦ Ἀμφιμαλλικοῦ κόλπου παραλίαν, ἐν τῇ ἀκτῇ τῆς νῦν κώμης Καλυβῶν, οἰκίας καὶ πόλιν ὅλην καταβεβυθισμένην καὶ ὡς ἐπὶ κατόπτρου ἐν τῷ τῆς θαλάσσης πυθμένι φαινομένην· ταύτην φασὶν εἶναι τὴν Μινώαν ἢ Ἀμφιμάλην (καὶ Ἀμφίμαλλα), ἐξ ἧς περ καὶ ὁ κόλπος Ἀμφιμαλλικὸς κέκληται. ὅρα ἀνωτέρω, § 2. — οὐ μόνον δὲ Φιλόστρατος (ἐν βίῳ Ἀπολ. Τυαν. IV, 34, σ. 175.) παραδίδωσιν, ὡς ἐν Ὀλυμπιάδι 210, 2 (60 μ. Χ,) ἡ μὲν Κρήτη σφοδρῷ τινι σεισμῷ καὶ δειναῖς ἀστραπαῖςτε καὶ βρονταῖς διεσείσθη, ἡ δὲ θάλασσα ἑπτὰ σταδίους ὑπεχώρησε καὶ ἐν τῷ αὐτῷ νῆσός τις μεταξὺ Θήρας καὶ Κρήτης ὑπὲρ τὴν θάλασσαν ἀνέδυ, ἀλλὰ καὶ Πλίνιος πολλὰ τῇ ἡφαιστείᾳ τῆς νήσου φύσει ἀναφερόμενα διηγεῖται. ὅρα Plin. hist. nat. II, 89. παράβ. καὶ Prokesch v. Osten, Erinnerungen, Thl. I, p. 556, 563, 570, 677, 579.

4) Ὅρα καὶ Grote, I, 559.

στύλους ἐναπολειφθέντας γεφύρας Εὐρώπην καὶ Ἀσίαν συναπτούσης, κατακλυσμοῖς δὲ διασπασθείσης, καθ' ἃ εὐφυῶς λίαν Ἐρνέστος Κούρτιός φησιν[1]). Ἀριστοτέλης δὲ πραγματευόμενος[2]) τὰ περὶ τοῦ ἐπὶ Δευκαλίωνος κατακλυσμοῦ ὥς τι γεγονὸς ἀναμφίβολον, θεωρεῖ τοῦτο φαινόμενον φυσικόν, περιοδικῶν ἐν τῇ ἀτμοσφαίρᾳ κύκλων ἀποτέλεσμα. ἐπιστεύετο δ' ἀδιστάκτως ἐπὶ τῶν ἱστορικῶν χρόνων ἡ γηΐνη αὕτη ἀλλοίωσις· οἱ δὲ χρονολόγοι γενεαλογίαις λογιζόμενοι, ἔφασκον τοῦτο γενέσθαι ἐπὶ τῆς τοῦ κόσμου τῇ Φαέθοντος προπετείᾳ ἐκπυρώσεως, δηλαδὴ 752 ἔτη πρὸ τῆς πρώτης ἀναγεγραμμένης Ὀλυμπιάδος, ὅ ἐστι 1528 π. Χ. πῦρ οὖν ἐπιχθόνιον καὶ ὑποχθόνιον σύναμα καὶ ὕδωρ ἐπήνεγκέ ποτε τὴν ὁρωμένην ἐν τῇ μορφῇ τῶν τῆς Ἑλληνικῆς χέρσου μερῶν ἀλλοίωσιν, ἰδίᾳ δὲ τῆς τοῦ Ἑλλησπόντου αὔλακος, τῆς στενῆς τῆς Εὐβοίας θαλάσσης, τοῦ μεγάλου ῥήγματος τοῦ τὸν Κορινθιακὸν κόλπον σχηματίσαντος, τῶν νήσων τοῦ Αἰγαίου, τῆς Κρήτης, τῶν παραλιῶν τῆς Μικρασίας καὶ τῶν ἄλλων[3]).

§ 11. Οἱ βιοῦντες δ' ἀνὰ τὴν Ἑλληνικὴν χώραν ἐπὶ τῆς καταστρεπτικῆς ἐκείνης τῆς γῆς ἀλλοιώσεως καὶ οἱ περιγενόμενοι αὐτῆς, οὐκ ἦσαν Πελασγοί, ἀλλ' ἕτεροι δήπου πολλῷ αὐτῶν πρότεροι· τούτων δ' οἱ ἀπόγονοι μὴ εἰδότες πόθεν τὴν ἀρχὴν εἶχον τοῦ γένους καὶ μήπω ἑτέροις ξένοις λαοῖς ἀντιτεθειμένοι, λέγουσι τοῖς εἶτα πρῶτον εἴς τε τὴν ἄλλην Ἑλλάδα καὶ τὴν νῆσον ἐπελθοῦσι Πελασγοῖς, 'ἐσμὲν γνήσιοι Κρῆτες, Ἀρκάδες, Ἀττικοί.' ἦν δ' ἀπόδεκτος ἡ τοῦ ἐθνικοῦ ὀνόματος Πελασγοὶ ἐξήγησις κατ' ἐτυμολογίαν Ἑλληνικὴν γένηται, ἐκ τοῦ „πέλας" (= γείτων, ἕτερος δηλαδὴ κατ' ἀντίθεσιν ἄνθρωπος) καὶ τοῦ „γῆ", καθ' ἃ ὁ αὐτὸς Οἴκκιός φησι[4]), τίσι πελάζουσι καὶ γειτνιάζουσιν οἱ Πελασγοὶ εἰ μὴ ἀρχαιοτέροις τισὶ τῆς Ἑλληνικῆς χώρας κατόχοις; εἰπόντες δ' ἐν τοῖς ἔμπροσθεν[5]) ὅτι τὰ ἔθνη ἤρξαντο τῆς ἱστορίας αὐτῶν καὶ ἔσχον τὰς ἰδίας κλήσεις ἀντιθέμενα καὶ ἐπιμιγέντα ἀλλήλοις[6]), φαμὲν νῦν καὶ τοὺς Πελασγοὺς οὕτω κληθῆναι ὑπ' ἐκείνων, οὓς ἐν τῇ χώρᾳ εὗρον καὶ οἷς ἐπέλασαν, τὴν δὲ κλῆσιν ἐοικέναι τὸν τῶν Ἀριανῶν γλωσσῶν ἔχειν χαρακτῆρα ἀλλὰ μὴ τὸν τῶν Σημιτικῶν. τίς δὲ δύναται δεῖξαι ὡς οἱ πρὸ τῶν Πελασγῶν τῆς Ἑλληνικῆς χώρας κάτοχοι ἐξ ἑτέρου κορμοῦ εἴησαν τὸ γένος καὶ ὡς οὐκ ἀποσπασθείη-

1) E. Curtius, gr. Gesch. I, 61.
2) Ἐν Μετεωρολογικοῖς, I, 14. παράβ. καὶ Διόδ. V, 47.
3) Ὅρα καὶ Grote I, 80, καί Schömann, gr. Alterth. I, 2.
4) Hoeck, I, 150, ἐν ὑποσημειώσει. 5) Ὅρα §. 8.
6) Καὶ ἡ ἐξ ἐπωνύμων ἀρχηγετῶν κλῆσις Ἑλληνικῶν φύλων, ἀπόδεκτος γιγνομένη (περὶ τούτου κατωτέρω), ἔχει τὴν ἀρχήν, ὡς ἡγούμεθα, ἐξ ἀντιθέσεως πρὸς ἕτερα τοῦ Ἑλληνικοῦ ἔθνους μέλη, ὧν ἑκάστῳ δίδοται τὸ ὄνομα ἀρχηγέτου τινὸς ὑφ' ἑτέρου γειτνιάζοντος, λέγοντος, οὕτω φάναι, 'οἱ τοῦ Γραικοῦ συγγενεῖς καὶ ὁμόφυλοι, οἱ τοῦ Ἕλληνος, τοῦ Αἰόλου, τοῦ Θεσσαλοῦ, τοῦ Δώρου.'

*σαν πρωϊμώτερον αὐτῶν εἰς τὰ δυτικὰ τῆς Εὐρώπης προελάσαντες καὶ κατασχόντες ἐν τοῖς ἄλλοις καὶ τὴν Ἰταλικὴν καὶ τὴν Ἑλληνικὴν χερσόνησον; εἰ οὖν οἱ τῶν Πελασγῶν προηγηθέντες μὴ ἄλλο τι ἦσαν ἢ κλάδος ἐκ τοῦ αὐτοῦ πρωτεγενοῦς στελέχους πρωιμώτερον ἀποσπασθείς, καὶ οἱ λαοί, ἐξ ὧν οὗτος συνέστηκεν, οὐχ ἑτέραν γλῶσσαν ἐφθέγγοντο ἢ τὴν ἀρχέγονον μὲν ἐκείνην καὶ πτωχὴν καὶ ἄμορφον, ἀλλά γε κατ᾽ ἀρχὴν καὶ οὐσίαν τὴν αὐτὴν ὡς ἐκ τῆς αὐτῆς ἀπορρεύσασαν πηγῆς, ἐξ ἧς καὶ τὰ ἀπὸ τῆς μέσης Ἀσίας μέχρις Ἰρλανδίας διασπαρέντα ἔθνη· διὸ οὐκ ἔστιν ἀπίθανον τὸ τοσοῦτον θόρυβον ποιῆσαν καὶ ποιοῦν ἐν τοῖς φιλολόγοις καὶ τοῖς ἐθνογράφοις ὄνομα τῶν Πελασγῶν σχεῖν τὴν ἀρχὴν ἀπὸ τοῦ πρὸς σχέσιν ἀγομένου καὶ νοουμένου τῇ τῆς λέξεως ἀντιθέσει ἑτέρου λαοῦ, ἀλλὰ μὴ ἀπὸ τῆς τῶν Φοινίκων ἢ τῶν Αἰγυπτίων γλώσσης[1]), εἰ μὴ ἀπόδεκτον γένοιτο ὡς οὕτως οἱ Πελασγοὶ καλοῖντο ἐν τῇ πρώτῃ ἔτι πατρίδι βιοῦντες. αἱ νεώτεραι παραθέσει καὶ συγκρίσει τῶν Ἰνδοευρωπαϊκῶν γλωσσῶν γενόμεναι περὶ ἀρχεγόνου συγγενείας καὶ ἑνότητος αὐτῶν ἔρευναι διδάσκουσιν, ὡς τρισχίλια περίπου ἔτη λογίζονται, ἐξ οὗ ἀπὸ τῆς πρωτογόνου τοῦ Ἀριανοῦ γένους ἑστίας, ἀπὸ τῆς περὶ Ἀριανὴν καὶ Βακτριανὴν χώρας, ὑπὸ κοινωνικῶν αἰτίων ἐκλυθέντες οἱ ἀπὸ τοῦ πρώτου ἐκείνου κορμοῦ τὴν ἀρχὴν ἔχοντες διάφοροι κλάδοι, ἐξετάθησαν ἀκτινηδὸν κατά τε Εὐρώπην καὶ Ἀσίαν. ὁ ὀρθὸς δὲ πάντα πείθει λόγος, ὡς ἄνθρωπος μετ᾽ ἐλλόγων καὶ σκοπίμων ὁρμῶν πεφυκὼς καὶ εἰς πλήρωσιν καὶ θεραπείαν αὐτῶν τῇ μεθ᾽ ὁμοίων ἐπιμιξίᾳ σπεύδων, ἥμερός τε καὶ κοινωνικὸς ἀρχῆθεν ἦν[2]). τούτου δ᾽ οὕτως ἔχοντος, συνεσχέθη ἅμα τῇ ἑαυτοῦ ὑπάρξει τῇ ἀνάγκῃ ὄργανον ἐξευρεῖν ἐπὶ τῇ εὐχερεῖ μετὰ τῶν ὁμοίων κοινωνίᾳ· οὕτω δὲ τὸ πρῶτον ἔργον αὐτοῦ ἡ γλῶσσα ἦν. ἄγαν δὲ φίλαυτοι εἴημεν ἄν, εἰ διϊσχυριζοίμεθα, ὡς οἱ πρόγονοι οἱ ἡμέτεροι μόνοι ποιήσειαν καὶ φθέγξαιντο γλῶσσαν, τῆς ἱστορίας κατισχυσάσης τῇ κατὰ μικρὸν προόδῳ ἐκ τοῦ χειμάρρου τῆς τῶν αἰώνων ἀμνημοσύνης αὐτοὺς ἐξαρπάσαι, ὡς εἰ ἀρνοίμεθα τοὺς καθ᾽ ἡμᾶς ἐν Ἀμερικῇ, Ἀφρικῇ καὶ Ὠκεανίᾳ ἀγρίους λεγομένους τὸ παράπαν κοινωνίας καὶ γλώσσης στερεῖσθαι διὰ τὸ ἐν τῷ παρόντι διαλάμπειν ἐν μικρῷ τῆς ὑδρογείου σφαίρας μέρει τὴν πρόοδον καὶ τὸν πολιτισ-*

1) *Περὶ τοῦ ἐθνικοῦ ὀνόματος Πελασγοὶ ἐροῦμεν κατωτέρω ἐν τοῖς περὶ Πελασγῶν τὰ εἰκότα. ὅρα δὲ καὶ* Gladst. hom. Stud. §.13, p. 31, *καὶ* Schöm. gr. Alterth. I, 4.

2) *Κοινωνίαι κοινωνίαις παραβαλλόμεναι δοκοῦσι σχετικῶς ἥμεροι καὶ ἄγριαι εἶναι, ἀπολύτως δ᾽ ἄγριος καὶ ἀνήμερος ἄνθρωπος οὐκ ἔστιν, ὡς ἐπειγόμενος ταῖς φυσικαῖς ἀνάγκαις τῷ ὁμοίῳ πελάζειν, διὸ καὶ Ἀριστοτέλης φησί, ‘φύσει ἄνθρωπος ζῶον πολιτικόν,’ καί, ‘ἄνθρωπος ζῶον φύσει ἥμερον’. Πολιτικά,* I, 2. *Τοπικά,* IV, 2. *Πλούταρχος δ᾽ ἐν βίῳ Πομπηΐου, κ.* 28, *‘φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν, οὔτ᾽ ἔστιν ἀνήμερον ζῶον, οὐδ᾽ ἄμικτον, ἀλλ᾽ ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος’.*

μόν. λογιζομένους τοίνυν τὴν πρὸ Χριστοῦ τρισχιλιετηρίδα ἐκείνην, οἷον τ' ἂν εἴη εἰπεῖν, ὡς ἐν τῷ τῆς πρώτης χιλιετηρίδος χρόνῳ μοῖρά τις τοῦ πρῶτον ἀποσπασθέντος ἀπὸ τοῦ πρωτογενοῦς κορμοῦ καὶ πρὸς δυσμὰς προελάσαντος Κελτικοῦ κλάδου ἀποκλίνασα πρὸς νότον κατὰ τὴν εἰς Εὐρώπην πορείαν ἐχώρησε καὶ πρὸς τὰς ἀμφοτέρωθεν τοῦ Ἀδρίᾳ χερσονήσους. τοῖς προτέροις τούτοις τῆς Ἑλληνικῆς χώρας κατόχοις οὐκ ἦν γε πολλῷ διάφορον ἔθιμά τε καὶ γλῶσσαν τὸ μετὰ ταῦτα ἀπὸ τοῦ γενικοῦ ἐκείνου κορμοῦ αὖθις ἐκλυθὲν μέλος τῶν Γραικοϊταλῶν ἢ Πελασγῶν, ἑνότητος ἐν αὐτοῖς καὶ ὁμοιότητος καὶ νῦν τῇ γλωσσικῇ ἐπιστήμῃ ἀνευρισκομένης. ἀντιθέμενοι οὖν ἀλλήλοις οὗτοι, εἰ μὴ ἀρχῆθεν, καθ' ἃ προέφημεν, ἐν τῇ πρωτογόνῳ αὐτῶν κοιτίδι αἱ διάφοροι φυλαὶ οὕτως ἐκέκληντο, οἰκείᾳ καὶ γνωστῇ ἐκλήθησαν φωνῇ οἱ μὲν Πελασγοί, οἱ δὲ μὴ εἰδότες, ὡς εἴρηται, τὰ πρὸ αὐτῶν, προσέληνοι, γηγενεῖς, Ἐτεόκρητες[1]).

§ 12. Οἱ παναρχαῖοι οὗτοι τῆς Ἑλλάδος κάτοικοι, οἱ ἐκ τῆς γῆς αὐτομάτως ἡγούμενοι φῦναι καὶ ἐν τῇ τῶν Πελασγῶν ἐπελεύσει ἐν τῇ χώρᾳ παρατυχόντες, ἦσαν ἀνὰ πᾶσαν τὴν τῆς Κρήτης ἐπιφάνειαν ἐσκεδασμένοι[2]), οἷα συνεχομένης πρότερον οὐ μόνον τῇ Μικρασίᾳ, ἀλλὰ καὶ τῇ Πελοποννήσῳ, ὡς εἴρηται· οἱ διαπεραιωθέντες δ' εἰς Κρήτην εἶτα ἐκ Πελοποννήσου κατὰ πρῶτον Πελασγοὶ ἢ οἱ ὑπὸ τῶν εἰσβαλόντων ἐκεῖσε ἐξωσθέντες τῶν προσεληνων Ἀρκάδων, οἱ Κύδωνες καλούμενοι[3]), ἀπέωσαν τοὺς Ἐτεόκρητας τούτους πρὸς τὸ ἀνατολικὸν τῆς νήσου περὶ τὰ ὄρη Ἴδην καὶ Δίκτην πλὴν τῶν ἐν τοῖς τῆς Κυδωνιακῆς χώρας ὄρεσιν ἐγγὺς τοῖς ἐπήλυσι παραμεινάντων Ἐτεοκρήτων τῆς Πολίχνης[4]). ἕτεροι δὲ μετ' αὐτοὺς ἐπελθόντες, καὶ οὗτοι μᾶλλον, ὡς ἔοικεν, ἰσχύοντες, ἀπέωσαν τοὺς αὐτόχθονας καὶ συνέστειλαν ἐν τοῖς νοτίοις τῆς νήσου, οὐ Δωριεῖς, ὥς φησιν Οἴκκιος[5]), ἀλλ' ἕτεροι πολλῷ αὐτῶν πρότεροι, καὶ δὴ Γραικοπελασγοί[6]). τοὐντεῦθεν δ' οἱ Ἐτεόκρητες περιωρίσθησαν κατ' αὐτὰ ἔχοντες τὴν Πραῖσον πρωτεύουσαν πόλιν[7]). ταῖς πιέσεσι ταύταις ἐστὶν εἰκάσαι, ὡς ἡγούμεθα, τὴν αἰτίαν τὴν κινήσασαν αὐτοὺς καὶ τοὺς ἄλλους τοὺς ἐν τοῖς τῆς Κυδωνιακῆς χώρας ὄρεσι παρα

1) Ὅρα C. Curtius gr. Gesch. I, 15—16 κτἑ. καὶ Schöm. gr. Alterth. I, 2.
2) Grote I, 184. 3) Ὅρα κατωτέρω, Β'. Κύδωνες.
4) Ὅρα Grote I, 184. 5) Hoeck, I, 142—143.
6) Οἱ Ἐτεόκρητες συνεσταλμένοι ἦσαν ἔν τε τῇ πόλει Πραίσῳ καὶ τῇ περιχώρῳ οὐ μόνον ἐπὶ τῆς εἰς Κρήτην τῶν Δωριέων ἀποβαάσεως, ἀλλὰ καθ' Ἡρόδοτον καὶ ἐπὶ Μίνωος καὶ τῶν διαδόχων αὐτοῦ· οἱ ἐν οὕτω μικρῷ αὐτοὺς συστείλαντες δοκοῦσι τὸ μὲν οἱ Κύδωνες εἶναι, τὸ δὲ Φρυγικῶν Πελασγῶν φῦλα ἀπὸ βορρᾶ καὶ Φοίνικες ἀπὸ νότου· τοῖς δυσὶ τούτοις φαίνονται συμμιγέντες οἱ Ἐτεόκρητες, ἐπελθόντων πολυπληθεστέρων τῶν Γραικοπελασγικῶν φύλων. ὅρα περὶ τούτου ἐν τέλει τῆς πραγματείας, ἔνθα περὶ Λαρίσσης καὶ Γόρτυνος.
7) Ἡ πόλις αὕτη ἔοικε κεῖσθαι ἔνθα νῦν ἡ κώμη Παρσὰς ἡ ἐν τῇ καθ' ἡμᾶς ἐπαρχίᾳ Ἀρκαδίᾳ, πρὸς νότον τῆς Δίκτης. ὅρα καὶ Hoeck, I,

μείναντας Ἐτεόκρητας, τοὺς Πολιχνίτας, μὴ μετασχεῖν τῆς γενικῆς στρατείας, ἥν φασι τοὺς Κρῆτας ποιήσασθαι κατὰ Κοκκάλου τοῦ Σικελίας βασιλέως ἐπ᾽ ἐκδικήσει τοῦ Μίνωος θανάτου[1]), ὡς γενομένης ὑπὲρ ἡγεμόνος τῶν ἐπελθόντων αὐτοῖς κατακτητῶν καὶ καταπιεστῶν[2]). καὶ τῆς ἐπὶ Τροίαν δὲ στρατείας οὐ μετέσχον οἱ Ἐτεόκρητες οἱ ἤδη ἐν τῇ Πραίσῳ συνεσπειραμένοι, καίτοι ἐπὶ τῶν Τρωϊκῶν περιᾴδονται ὑπὸ τοῦ Ποιητοῦ ὡς μεγαλήτορες. τοῦτο δ᾽ αὖ δείκνυσιν, ὡς Ἰδομενεὺς καὶ Μηριόνης καὶ ὁ πάππος Γραικοπελασγοὶ ἦσαν, δηλαδὴ Ἕλληνες, οἱ δ᾽ Ἐτεόκρητες, εἰ μὴ ἐξ ἑτέρου γένους, ἀλλ᾽ οὖν γ᾽ ἐξ ἑτέρου τινὸς κλάδου αὐτοῦ τὴν ἀρχὴν τοῦ γένους εἶχον. ἐν μὲν γὰρ τῷ νεῶν Καταλόγῳ[3]) οὔθ᾽ οὗτοι μνημονεύονται τὸ παράπαν, οὔθ᾽ ἡ μικρὸν πρὸς νότον τῆς πόλεως Λύκτου κειμένη μητρόπολις αὐτῶν Πραῖσος ἐν ταῖς ἑπτὰ πόλεσι καὶ ταῖς περὶ αὐτὰς κατὰ τὸ ἀνατολικὸν καὶ τὸ μέσον τῆς νήσου οὔσαις, ἐν αἷς ἐβασίλευον συνάρχοντες Ἰδομενεὺς καὶ Μηριόνης[4]). παρ᾽ Ἡροδότῳ δ᾽ ὁρῶμεν, ὡς ἡ

413. — *ἐν παρόδῳ φαμέν, ὡς πολλὰς τοποθεσίας τῶν ἀρχαίων πόλεων ἔστι πρὸς τοῖς ἐρειπίοις τεκμήρασθαι τῇ καθ᾽ ἡμᾶς πολλῶν κωμιδίων κλήσει, μικρᾷ τινι μόνον παραλλαγῇ καὶ νῦν τῇ αὐτῇ περισωθείσῃ· οὕτως ἐν τῇ αὐτῇ ἐπαρχίᾳ οὐ μακρὰν Πραίσου ἔκειτο ἡ παναρχαία πόλις Βίεννος, νῦν Βιάννω, ἐν ᾗ ἐρείπια πολλὰ ἀναγλύφων καὶ σαρκοφάγων λέλειπται. ὅρα* Paschley, Travels in Ctete, London, 1837, I, p. 276 *κτέ. τοιαῦτα καὶ τὰ νῦν Τύλισσο, Μίλατο, Ἀξώ, Δράμια, Ῥαμνὴ καὶ ἄλλα, πάλαι δὲ Τύλισσος, Μίλητος, Ὀαξὸς, Ὑδραμία, Ῥαμνοῦς. ὅρα αὖθις* Paschley.

1) *Ὅρα Ἡρόδ.* VII. 170.

2) *Μόνος Ἡρόδοτός φησι Μίνωα βάρβαρον εἶναι, δηλαδὴ ἐκ τῶν Ἐτεοκρήτων τὴν ἀρχὴν ἔχοντα τοῦ γένους καὶ ἥρωα αὐτῶν ὄντα (ὅρα* I,173). *εἰ οὕτως εἶχεν, ἄπορον τὸ μὴ μετασχεῖν τοὺς Ἐτεόκρητας (Πραισίους καὶ Πολιχνίτας) τῆς γενικῆς τῶν Κρητῶν κατὰ Καμίκου τῆς Σικελίας ἐπ᾽ ἐκδικήσει τῆς Μίνωος δολοφονίας στρατείας, μὴ ὄντος καθ᾽ Ἡρόδοτον τοῦ Μίνωος Γραικοπελασγοῦ ἀλλὰ βαρβάρου Ἐτεόκρητος. εἰ γὰρ Μίνως Ἐτεόκρης ἦν, οἱ ἐπελθόντες Γραικοπελασγοὶ ἀπεδέξαντο δήπου αὐτὸν βασιλέα καὶ ὑπετάγησαν τοῖς αὐτόχθοσιν Ἐτεόκρησι καὶ αὐτοῖς συνεμίγησαν· οὕτω δ᾽ ἔδει πᾶσαν τῶν Ἐτεοκρήτων τοῖς ἐπήλυσιν ἔχθραν ἀρθῆναι· ἀλλ᾽ οὐχ οὕτως ἐγένετο. τοὐναντίον ἄρ᾽ ἔοικε γενέσθαι, διὸ καὶ οὐ συνεστράτευσαν οἵ τε Πραίσιοι καὶ οἱ Πολιχνῖται ὑπὲρ Γραικοπελασγοῦ βασιλέως καὶ ὑπὲρ Ἑλληνικῆς ὑποθέσεως, τῆς περὶ Ἴλιον, τέλος δὲ κατεστράφησαν οἱ μὲν ὑφ᾽ Ἱεραπυτνίων, οἱ δ᾽ ὑπὸ Κυδωνιατῶν. ὅρα καὶ* Grote. I. 154. 3) *Ὁμ, Ἰλ. β,* 645—652.

4) *Κατὰ τὰ ἐν τῷ νεῶν Καταλόγῳ περὶ τῆς Κρητικῆς δυνάμεως οὐκ ἦρχεν Ἰδομενεὺς πάσης τῆς νήσου ἢ διὰ τὸ μὴ ὑπαχθῆναι ἅπασαν ὑπὸ μίαν ἀρχὴν καὶ ἐπ᾽ αὐτοῦ τοῦ Ἰδομενέως πάππου, τοῦ Μίνωος, ὅς κατὰ Γρύτην ἐν Κνωσῷ μόνῃ ἐβασίλευεν (ὅρα Ὁμ. Ὀδύσσ. Τ,* 178, *καὶ* Grote, I. 183). *ἢ διά γε τὸ χαλασθῆναι, ἐκείνου θανόντος, τὸν μηταξὺ τῆς μετροπόλεως Κνωσοῦ καὶ τοῦ δυτικοῦ τῆς νήσου, ἔνθα Κύδωνες ᾤκουν, σύνδεσμον. ὅτι δ᾽ ἁπάσης τῆς νήσου οἱ Δευκαλίωνος τοῦ Μίνωος υἱοί, Ἰδομενεὺς καὶ Αἴθων (Ὁμ. Ὀδύσσ. Τ,* 183), *ἢ οἱ ἀδελφιδοῖ Μηριόνης καὶ Ἰδομενεὺς οὐκ ἦρχον, δῆλον καὶ τῷ μικρῷ τῶν νεῶν ἀριθμῷ, ἃς ὀγδοήκοντα μόνον οὔσας οὗτοι ἐπὶ Τροίαν ἠγάγοντο, καίπερ ἔτι τῆς ναυτικῆς τῶν Κρητῶν ἐμπειρίας διαρκούσης καὶ Πελοποννήσου μόνης ἐπὶ τὸν πόλεμον τετρακοσίας καὶ τριάκοντα ναῦς ἐκπεμψάσης (ἐν* 6 *μοί-*

Κρήτη μετὰ τὰ Τρωϊκὰ ἠρημώθη καὶ δεύτερον[1]) ὑπό τε λιμοῦ καὶ λοιμοῦ ἀνθρώπων καὶ κτηνῶν[2]), οἱ δ' Ἐτεόκρητες, Πραίσιοι καὶ Πολιχνῖται[3]), οἷα μὴ μετασχόντες τοῦ πολυετοῦς πολέμου καὶ μὴ καταδαπανηθέντες, ἐκαρποῦντο τὴν χώραν, περιγενόμενοι δὲ μόνοι, ὡς αὐτοί περ, καθ' Ἡρόδοτον[4]), ἔφασκον, παρεδίδοσαν, τοῖς ἐπιγόνοις, ὡς εἰς τὴν νῆσον ἐρημωθεῖσαν ἄλλοι εἰσοικίζοιντο ἄνθρωποι, καὶ μάλιστα Ἕλληνες. ἡ οὖν ἀντιπάθεια τῶν Ἐτεοκρήτων πρὸς τοὺς ἐπήλυδας, σχοῦσα τὴν ἀρχήν, ὥς περ εἴρηται, καὶ μεταδιδομένη τοῖς μεταγενεστέροις, διήρκει καὶ ἐν τοῖς ἱστορικοῖς, ὡς ἔοικε, χρόνοις, μέχρις οὗ κατίσχυσαν αὐτῶν οἱ μικρὸν ἀνατολικώτερον οἰκοῦντες Ἱεραπύτνιοι Πελασγοδωριεῖς καὶ ἑλόντες τὴν μητρόπολιν αὐτῶν Πραῖσον κατέσκαψαν[5]), ὡς καὶ Κυδωνιᾶται τοῖς Πολιχνίταις Ἐτεόκρησιν ἐποίησαν. ἴσως δὲ μετὰ ταῦτα συνανεμίγησαν τῷ ὑπερέχοντι, καὶ δὴ ἐν τῷ μέσῳ καὶ ἀνατολικῷ τῆς Κρήτης μέρει, Δωρικῷ στοιχείῳ. τοσαῦτα περὶ τῶν πρώτων τῆς Κρήτης κατοίκων, τῶν Ὁμήρου Ἐτεοκρήτων.

## Β'. Κύδωνες.

§ 13. Τοῖς Ἐτεόκρησι τούτοις ἕπονται, κατὰ τὴν γενομένην ἡμῖν ἐν τοῖς ἔμπροσθεν τῶν πέντε τῆς Κρήτης λαῶν διάταξιν[6]), Κύδωνες. ἐν τοῖς περὶ τῶν Ἐτεοκρήτων δ' ἐκτεθεῖσιν ἐλέχθη ἐν παρόδῳ[7]), ὡς οἱ ἐκ Πελοποννήσου εἰς Κρήτην μεταβάντες Κύδωνες ἢ προσέληνοι εἴησαν Ἀρμάδες, ἐξωσθέντες ὑπὸ τῶν ἀπὸ βορρᾶ εἰς τὴν πατρίδα αὐτῶν εἰσελασάντων Γραικοπελασγῶν, ἢ μοῖρά τις τούτων Κύδωνες ἰδίως καλούμενοι. εἰ τὸ δεύτερον ἐγένετο, οἱ Κύδωνές εἰσιν ἡ πρώτη τῶν ἐκ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος εἰς τὴν μικρὸν τῆς Πελοποννήσου διέχουσαν Κρήτην ἀποβασῶν Γραικοπελασγικῶν μοιρῶν, ἱδρυθεῖσα ἐν τῷ μέρει, ᾧπερ τὸ πρῶτον κατὰ

ραις καὶ ὑπὸ 9 ἀγοὺς (ὅρα Gladstone's hom. St. p. 30, 305 καὶ 306). πρὸς δὲ τούτοις καὶ τὴν ἀρχὴν ἐν τῇ ἐκτάσει τοῦ Μινωϊκοῦ βασιλείου ἔοικε διανενεμημένην εἶναι ἐν τοῖς ἀδελφιδοῖς Ἰδομενεῖ καὶ Μηριόνῃ, ὃς δοκεῖ μὴ εἶναι ἄναξ φυλῆς ἢ περιχῆς, ἀλλὰ βασιλεὺς ἐλάσσονός τινος μοίρας, ἔχων ἐν Γόρτυνι ἴσως τὰ ἑαυτοῦ βασίλεια, Ἰδομενέως οἰκοῦντος ἐν Κνωσῷ τῇ μεγάλῃ τοῦ Ποιητοῦ πόλει (Ὁμ. Ὀδύσσ. Τ, 178). ὅρα καὶ Gladst. hom. Stud., erster Theil, § 3, καὶ dritter Th., § 1, καὶ Grote, I, 175.

1) Τὴν πρώτην τῆς νήσου ἐρήμωσιν ἔοικε γενέσθαι τῇ τε Μίνωος κατὰ Σικελίας ἀποτυχίᾳ καὶ τῇ μετὰ ταῦτα ἐπ' ἐκδικήσει τῆς δολοφονίας αὐτοῦ γενικῇ τῶν Κρητῶν ἐκστρατείᾳ, ὅρα καὶ Grote, I, 180 καὶ 181.

2) Ἡ δευτέρα ἐρήμωσις ἐπεγένετο τῇ Κρήτῃ ὀργῇ Μίνωος καὶ θεομηνίᾳ Διός, μετασχόντων τῶν Κρητῶν τῆς ἐπὶ Τροίαν στρατείας, μὴ ποιησάντων δὲ ταὐτὸ τῶν ἄλλων Ἑλλήνων πρότερον ἐπὶ τῇ πρὸς Σικελίαν πειραθείσῃ τοῖς Κρησὶν ἐκδικήσει ἐκείνῃ. ὅρα Grote, ἔνθ' ἀνωτέρω.

3) Ὅρα Hoeck, I, 16.

4) Ὅρα βιβλ. VII. 169 καὶ 170, καὶ VIII, 171.

5) ‛Μεταξὺ δὲ τοῦ Σαμωνίου καὶ τῆς Χερρονήσου ἡ Πραῖσος ἵδρυτο ὑπὲρ τῆς θαλάσσης ἑξήκοντα σταδίους· κατέσκαψαν δ' Ἱεραπύτνιοι.' Στράβ. Χ, 733.

6) Ὅρα § 7.

7) Ὅρα § 12.

τὸν πλοῦν συνήντησε, τῷ πρὸς τὴν Λακωνικὴν ἀπονεύοντι, ἐν τῇ χώρᾳ τῇ ἀπ' αὐτῶν Κυδωνίᾳ κληθείσῃ.

§ 14. Κατὰ τὰ ἔμπροσθεν δ' εἰρημένα[1]) τὰ ἐκ τῆς μέσης Ἀσίας πρὸς δυσμὰς προελάσαντα ἐκεῖνα φῦλα τοῦ Γραικοϊταλικοῦ ἢ Πελασγικοῦ τῶν Ἀριανῶν κλάδου, κατέκλυσε τὰς πρὸς δυσμὰς τῆς Ἀσίας ἄχρι τῶν τοῦ Αἰγαίου παραλιῶν χώρας, ἐκεῖθεν δ' ὡς διὰ γεφύρας, τῆς στενῆς ἐν Ἑλλησπόντῳ θαλάσσης, διαπεραιωθέντα εἰς τὴν ἀντίπεραν, ἐχώρησε δυσμικώτερον ἢ ὑφ' ἑτέρων ἀεὶ ἐπερχομένων προωθούμενα, ἢ τῇ τοῦ πληθυσμοῦ αὐξήσει καὶ τῇ στενοχωρίᾳ ἐξαναγκαζόμενα, καὶ τὰ παρατυγχάνοντα αὐτόχθονα προωθοῦντα, τοὺς ὡς εἴρηται προσελήνους καὶ γηγενεῖς, ἐνιδρύθη τὸ πρῶτον ἐν Θράκῃ καὶ Μακεδονίᾳ, μεταξὺ τῶν νοτίων Αἵμου καὶ Ὀρβήλου ὑπωρειῶν καὶ τῆς θαλάσσης[2]), εἶτα δ' ἢ προωθούμενα ἔτι ὑφ' ἑτέρων ἀεὶ ἐπερχομένων, ἢ τῷ πλήθει συμπυκνούμενα ἠραιοῦτο καὶ κατήρχετο εἰς Ἤπειρον καὶ Θεσσαλίαν, ἐκεῖθεν εἰς τὴν ἄλλην Εὐρωπαϊκὴν Ἑλλάδα κλάδους διαπέμποντα, ὁπόθεν τὸ μετὰ ταῦτα καὶ εἰς τὰς νήσους αὐτῆς διεπεραιώθη καὶ δὴ εἰς Κρήτην, εἰς ἣν ἴσως ἀπέβησαν μικρῷ πρότερον, ὡς ὀψόμεθα, καὶ ἐξ ἀνατολῶν Μικρασιανοὶ Πελασγοί, οἷον Φρυγοπελασγοὶ καὶ ἄλλοι[3]).

§ 15. Οὕτως οὖν ἵδρυνται καὶ ἐν Πελοποννήσῳ, τῷ ἐγγυτάτῳ τῇ Κρήτῃ τῆς χέρσου Ἑλλάδος ὁρίῳ, οἱ Γραικοπελασγοὶ ἔν τε τοῖς πεδινοῖς καὶ τοῖς ὀρεινοῖς αὐτῆς[4]), ἀπωθοῦντές γε καὶ συστέλλοντες ἐν τοῖς τῆς Ἀρκαδίας ὀρεινοτέροις τοὺς προτέρους τῆς χερσονήσου κατοίκους, οἵπερ, ὡς εἴδομεν, ἐπ' ἀντιθέσει γε πρὸς τοὺς ἐπήλυδας προσέληνοι ἐκαλοῦντο[5]). εἰ δὲ καθ' Οἴκκιον ἔξεστι τὴν ἀρχὴν ἀποδέξασθαι, ὡς οὐδεμία φήμη καὶ παράδοσις αἰτίας δίχα ἔστιν ὑπάρξαι[6]), ἔχομεν παρὰ Παυσανίᾳ[7]) Ἀρκαδικὴν παράδοσιν, καθ' ἣν ἡ Κυδωνίας κτίσις ὑπὸ Κύδωνος τοῦ Ἑρμοῦ ἐγένετο, οὕτω δὲ καὶ οἱ ἄλλοι οἱ πέριξ αὐτῆς Κύδωνες ἐκ τῶν Προσελήνων ἢ τῶν Ἀρκαδίας Πελασγῶν τὴν ἀρχὴν ἔχουσιν. ἀλλ' Οἴκκιός φησιν[8]) ἀντιστρατεύεσθαι τῇ παραδόσει ταύτῃ τὸ τῆς θρησκείας τεκμήριον, διὰ τὸ τοὺς μετανισταμένους συγκομίζειν τοὺς

1) Ὅρα ἰδίος § 11.

2) Ὅρα Gladstone's hom. Stud. § 8, p. 17—18, § 23, p. 56—57 καὶ § 28, p. 66.

3) Ὅρα καὶ ἔμπροσθεν §. 12, ὑποσημ. 6.

4) Gladstone's hom. Stud. §. 4, p. 10 καὶ 11.

5) Στέφ. Βύζ. ἐν λ. Ἀρκάς. Σχολ. Ἀριστοφ. Νεφ. 397. Herrm. gr. Staatsalt. §. 8, 5. ἴδε καὶ E. Curtius Peloponn. I, p. 180, 10.

6) Koeck, I, 154. — Παλαίφατος δὲ περὶ τῶν λεγομένων φησίν, ‛ἐγὼ δὲ γιγνώσκω, ὅτι οὐ δύνανται τὰ τοιαῦτα εἶναι οἷα καὶ λέγονται· τοῦτο δὲ καὶ διείληφα, ὅτι εἰ μὴ ἐγένοντο οὐκ ἂν ἐλέγετο.' Ed. Westermann, p. 268.

7) Ὅρα βιβλ. VIII, 53.

8) Ὅρα Hoeck, I, 144 κτἑ. — Τέλος δ' ἀποδέχεται ὡς φῦλόν τι Πελασγικὸν πρωίμως ἐν τῇ Κυδώνων χώρᾳ ἐνιδρύθη. ὅρα I, 144.

*θεοὺς καὶ τὰς περὶ αὐτῶν παραδόσεις*[1]), *τὴν δὲ τῶν Κυδώνων λατρείαν μὴ εἶναι τὸ παράπαν τὴν φύσιν Ἀρκαδικήν. τοῦτό γε οὕτως ἔχει, ἀλλὰ ῥητέον τοῖς ἐν τοῖς ἱστορικοῖς χρόνοις ἐνοίκοις τῆς πόλεως Κυδωνίας, Κυδωνιάταις καλουμένοις, ἐν ᾗ περ ᾤκουν ἰδίως Ζακύνθιοι, Σάμιοι καὶ Αἰγινῆται, οἰκισταὶ αὐτῆς γενόμενοι, ἄλλοι δ' ἄλλας θεότητας ἔχοντες*[2]). *ἡ δὲ Παυσανίου μαρτυρία ἀναφέρεται, ὡς ἡγούμεθα, οὐ μόνον πρὸς τὴν ἐν ἀρχῇ μικράν γε Κυδωνίαν τὴν ὀψὲ τοῖς τε λεχθεῖσι καὶ ἄλλοις Ἑλληνικοῖς λαοῖς ἐπαυξηθεῖσαν*[3]), *ἀλλὰ καὶ πρὸς ἅπαντα τὸν κατὰ τὸ δυτικὸν τῆς νήσου ἐσκεδασμένον τῶν Κυδώνων λαόν, τὸν „Ἰαρδάνου ἀμφὶ ῥέεθρα“ καθ' Ὅμηρον οἰκοῦντα*[4]), *πολλῷ δ' ὀψὲ πρωτεύουσαν πόλιν σχόντα τὴν μεγάλην κατὰ μικρὸν γενομένην Κυδωνίαν. ἡ Ἀρκαδικὴ δ' αὕτη παράδοσις ἐνισχύεται, ὡς ἡγούμεθα, ἀρκούντως ταῖς ἑξῆς Γλάστωνος σκέψεσιν.*

*„Οἱ Κύδωνες ᾤκουν παρά τινι τῆς νήσου ποταμῷ Ἰαρδάνῳ τοὔνομα*[5]). *ποταμὸς δ' ὁμώνυμος τῷ ἐν Κρήτῃ τούτῳ ἦν καὶ ἐν Πελοποννήσῳ*[6]) *καὶ οὐκ ἀπεικότως ἐν Ἀρκαδίᾳ. ἐκ τῶν προτέρων γὰρ δεῖ ἡμᾶς παραδέξασθαι, ὡς ἐν ἀγῶνί τινι μεταξὺ Πυλίων καὶ Ἀρκάδων, οὗτοι οἷά περ Πελασγοὶ ἐν ἀμύνῃ ἦσαν, οὕτω δ' ἐμάχοντο ἐν οἰκείᾳ τῇ χώρᾳ καὶ τῷ ἐδάφει, εἴ καί φαμεν τοῦτο εἰκοτολογοῦντες. ἀξιομνημόνευτόν δ' ἐστιν, ὡς ἡ μάχη παρὰ τὸν ὠκύρροον Κελάδοντα ἐγένετο· ἀμφότεραι δ' αἱ λέξεις δεικνῦσιν, ὡς δεῖ τὸν ποταμὸν τοῦτον ἐκληφθῆναι ὥς τινα ἀπ' ὄρους καταρρέοντα, μὴ ἐκβάλλοντα δ' εἰς παραλίαν, δηλαδὴ εἰς τὴν τοῦ ἀμμώδους Πύλου, ὅς ἄχρις Ἀλφειοῦ προῆκε*[7]). *πιθανὸν δ' ὅτι οὗτος ῥύαξ τις Ἰαρδάνου ἦν, οὕτω γὰρ οἷόν τ' ἐστιν ἐξηγηθῆναι, ὅπως ἡ μάχη παρά τε τὸν Κελάδοντα καὶ ἀμφὶ ῥέεθρα Ἰαρδάνου ἐγένετο*[8]). *ἢν δὲ πρὸς τούτοις εἰς τὴν τῶν διαμαχομένων λαῶν θέσιν ἀπίδωμεν, Πυλίων καὶ Ἀρκάδων, πειθόμεθα τὸν Ἰάρδανον εἰς τὸν Ἀλφειὸν προρρεῖν. εἰ δ' ὁ Ἰάρδανος Ἀρκαδικὸς ἦν ποταμός, τῶν Ἀρκάδων γε Πελασγῶν ὄντων, συμπεραίνεται ὡς οἱ ἐν Κρήτῃ Κύδωνες οἱ ὡσαύτως Ἰαρδάνου ἀμφὶ ῥέεθρα οἰκοῦντες, Πελασγοὶ ἦσαν“*[9]).

§ 16. *Κατὰ ταῦτα οἱ Κύδωνες ἦλθον μὲν ἔξωθεν, ἀλλ'*

1) *Ἐννοοῦμεν (ὡς καὶ ἐν τοῖς περὶ Πελασγῶν ἐροῦμεν) ὡς ὅπου ἄνθρωπος καὶ οἵα δήποτ' ἀνθρωπίνη κοινωνία, ἐκεῖ καὶ ἰδέα τις περὶ Θείου καὶ ἰδιοτήτων αὐτοῦ, ἐκεῖ καὶ θρησκεία.*

2) *‛Αὐτοὶ δὲ οἱ Σάμιοι Κυδωνίην τε τὴν ἐν Κρήτῃ ἔκτισαν, οὐκ ἐπὶ τούτῳ πλέοντες, ἀλλὰ Ζακυνθίους ἐξελῶντες ἐκ τῆς νήσου. ἔμειναν δ' ἐν αὐτῇ καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε· ὥστε τὰ ἱερὰ τὰ ἐν Κυδωνίῃ ἐόντα νῦν αὐτοί εἰσιν οἱ ποιήσαντες καὶ τὸν τῆς Δικτύνης νηόν. ὀκτὼ δ' ἔτη Αἰγινῆται αὐτοὺς ναυμαχίῃ νικήσαντες, ἠνδραποδίσαντο μετὰ Κρητῶν.' Ἡρόδ.* III, 59. 3) *Ὅρα κατωτέρω Ε'. Δωριεῖς.*

4) *Ὅρα Ὁμ. Ὀδύσσ. Γ*, 292. 5) *Ὀδύσσ. ἔνθ' ἀνωτέρω.*

6) *Ἰλ. Π*, 135. 7) *Ὅρα Ἰλ. Λ*, 512. 8) *Ἰλ. Π*, 133—135.

9) Gladstone's hom. Stud. p. 20 *καὶ* 21.

ἦσαν Πελασγοί· καθ' Ὅμηρον δὲ Κύδωνες καὶ Πελασγοί εἰσι λαοὶ διάφοροι ἀλλήλων ἐν τῇ νήσῳ[1]). πρὸς ἄρσιν οὖν τῆς διαφωνίας, δέον, ὡς ἡγούμεθα, ἀποδέξασθαι ἢ ὡς οἱ Πελασγοὶ δὶς εἰς τὴν νῆσον ἀπέβησαν, οἱ δὲ πρῶτον ἀποβάντες Κύδωνες ἰδίᾳ Πελασγοὶ ἐκαλοῦντο ἢ γοῦν ὁ αὐτῶν ἀρχηγέτης, ἀφ' οὗ οὕτως ἐκλήθησαν[2]), ἢ ὡς μοῖρά τις τῶν προσελήνων Ἀρκάδων, Κύδωνες τὴν κλῆσιν, ἐξωσθεῖσα ὑπὸ τῶν εἰς τὴν χερσόνησον εἰσβαλόντων Πελασγῶν καὶ εἰς Κρήτην διαπεραιωθεῖσα, ἱδρύθη ἐν τῷ μέρει τῆς νήσου, ᾧπερ τὸ πρῶτον κατὰ τὸν πλοῦν συνήντησε. καὶ ταῦτα μὲν δὴ ταῦτα περὶ τῆς μεταναστάσεως τῶν ἐν Κρήτῃ Κυδώνων ἐκ τῆς ἀπέναντι Πελοποννήσου.

§ 17. Ὅτι δ' ἐπήλυδες οἱ Κύδωνες ἦσαν, καὶ τοῖς ἑξῆς τεκμαίρεται. Πραίσιοι καὶ Πολιχνῖται μόνοι, ὡς καὶ ἐν τοῖς περὶ Ἐτεοκρήτων εἴρηται, τὰ λείψανα τῶν αὐτοχθόνων τῆς νήσου ἐκείνων, οἱ μὲν αὐτῶν κατὰ τὰ νοτιοανατολικά, ὑπὸ ταῖς νοτίαις τῆς Δίκτης ὑπωρείαις συνεσπειραμένοι, οἱ δ' ἐν τοῖς δυτικοῖς, ἐπὶ τὰς βορείους ἴσως ὑπωρείας τῶν Λευκῶν ὀρέων ἀνακεχωρηκότες, οὔτε τῆς γενικῆς κατὰ Σικελίας τῶν Κρητῶν στρατείας μετέσχον, τῶν γειτνιαζόντων τοῖς Πολιχνίταις Κυδώνων, ὡς ἔοικε, τοῖς ἄλλοις συνεκστρατευσάντων, οἷα Πελασγῶν ὄντων καὶ ἑτέρων τὸ γένος τῶν Ἐτεοκρήτων, ὑπὲρ Πελασγοῦ ἡγεμόνος, οὔτε τῆς ὀψὲ τῶν Ἑλλήνων τῆς ἐπὶ Τροίαν, διὸ μόνοι τῶν Κρητῶν, ὡς ἔφασκον, περιεγένοντο τῶν δύο ἀπωλειῶν, τῆς ἐν Σικελίᾳ καὶ περὶ Ἰταλίαν στόλου τε καὶ ἀνθρώπων φθορᾶς, καὶ τοῦ δεκαετοῦς πρὸ τοῦ Ἰλίου πολέμου καὶ τοῦ ἐξ αὐτοῦ ἐπιγενομένου λιμοῦ καὶ λοιμοῦ[3]). καὶ ὅτι μὲν ἐκ τῶν γεγονότων τούτων ζημία τις τῷ πλήθει τῆς νήσου καὶ τῇ γεωργίᾳ αὐτῆς ἐπεγένετο, ἀναμφίλεκτον· ἀλλ' ὅτι οὕτω μεγάλη ἦν, ὥστ' „εἰσοικίζεσθαι γένη παντοῖα καὶ μάλιστα Ἕλληνας," τοῦτο καὶ πιθανὸν οὐκ ἔστι καὶ ἐπὶ τῆς παραδόσεως δύο μόνον τῆς νήσου πόλεων, ἐχθρικῶς ἐκ διαδοχῆς διακειμένων τῷ Πελασγικῷ ἢ τῷ κατὰ τὴν Ὁμήρου γλῶσσαν Ἀχαϊκῷ τῆς νήσου πλήθει, ἐστήρικται[4]). ὥστ' ἔοικεν, ἐπιβιωσάντων πολλῶν τῶν τοῦ ἀρχαίου Πελασγικοῦ πλήθους τῆς νήσου, διαρκεῖν τὴν πάλαι τούτων ἀντι-

1) Ὁμ. Ὀδύσσ. Τ, 176 καὶ 177.

2) Κατὰ Παυσανίαν (VIII, 53) Κύδων υἱὸς Ἑρμοῦ ἦν, δηλαδὴ Ἀρκάς· κατὰ δὲ τοὺς ὑστέρῳ χρόνῳ Δωριεῖς τῆς πόλεως Κυδωνίας ἐνοίκους, τοὺς Κυδωνιάτας, υἱὸς Ἀπόλλωνος, δῆλον τοῦ μᾶλλον ἐν τοῖς Δωριεῦσι σεβαστοῦ θεοῦ (ὅρα Hoeck, I. 23, καὶ II, 439). ἀλλ' ἐπὶ τῶν Ὁμηρικῶν Κυδώνων οὐκ ἦν Ἀπόλλωνος λατρεία, ἀλλὰ Διὸς καὶ Ἑρμοῦ, κοινῶν ἀνέκαθεν θεοτήτων τοῖς τε Ἀρκάσι καὶ τοῖς Κρησί. κατὰ Ζηνόβιον (II, 42) ἦν τι ἀρχαῖον λόγιον, 'ἀεί τις ἐν Κύδωνος', δηλοῦν οἶκον φιλόξενον ἀεὶ καὶ ἐλευθέριον, σχὸν ἴσως τὴν ἀρχὴν ἐκ τοῦ παναρχαίου τούτου ἥρωος, ὃς καὶ βασιλεὺς Κρήτης λέγεται, ἢ γοῦν τοῦ δυτικοῦ αὐτῆς, ἐν τοῖς Κύδωσιν. 3) Ὅρα Ἡρόδ. VII, 170 καὶ VIII, 171.

4) Ὅρα καὶ Müller's Dorier, I, C. 1, § 9 καὶ 30, zweite Auflage.

πάθειαν τοῖς Ἐτεόκρησιν ἐπαυξηθεῖσάν γε μὴν ἐκ τοῦ μὴ μετασχεῖν αὐτοὺς τῶν γενικῶν κινδύνων, καίπερ μεγαλήτορας ὄντας, ὡς ὁ Ποιητής φησι, καὶ οἰκοῦντας παρὰ ταῖς πόλεσιν, ἐξ ὧν περ ὁ Ἰδομενέως καὶ Μηριόνου συνείλεκτο στρατός[1]), ὀψὲ δ᾽ ἐπενεγκαμένην τὴν Πραισίων καταστροφὴν καὶ τοῦ λοιποῦ σύμμιξιν μετὰ τῶν ἄλλων τῆς νήσου κατοίκων, καὶ τὴν ἐν οὕτω μικρᾷ συστολὴν τῶν ἐν τοῖς δυτικοῖς Ἐτεοκρήτων, ὥστε τὴν πόλιν αὐτῶν ἐν τοῖς ὕστερον χρόνοις Πολίχνην ἐπικληθῆναι. ἔτι δ᾽ ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου δοκεῖ διαρκεῖν τὴν τῶν Πολιχνιτῶν τούτων Ἐτεοκρήτων ἔριδα πρὸς Κύδωνας, Κυδωνιάτας τότε καλουμένους ἐκ τῆς μεγαλοπόλεως Κυδωνίας[2]). τῇ ἐνεργείᾳ γὰρ Νικίου τινὸς Γορτυνίου ὁ Ἀθηναίων ὑποναύαρχος ἤγαγε στόλον εἴκοσι τριηρῶν κατὰ Κυδωνιατῶν, τὰ τῶν Λακεδαιμονίων αἱρουμένων, οἷα συγγενῶν τῶν τῆς μεγαλοπόλεως ταύτης ἐνοίκων τοῖς Δωριεῦσιν ὄντων[3]), καὶ μετὰ τῶν Πολιχνιτῶν ἐδῄου τὴν Κυδωνιατῶν γῆν, ἐνδιατρίψας ὑπ᾽ ἀνέμων, ὥς φησι Θουκυδίδης[4]), οὐκ ὀλίγον χρόνον. πιθανὸν δ᾽

1) Ὅρα ἀνωτέρω § 12.

2) Φλῶρος μητέρα τῶν ἄλλων τῆς νήσου πόλεων αὐτὴν καλεῖ. ὅρα III, 7. ἔκειτο δ᾽ ὑπὸ τῇ ὑπωρείᾳ τῆς πρώτης τῶν ὀρέων σειρᾶς τῆς τῇ βορείῳ παραλίᾳ ἧττον διεχούσης, μεταξὺ τοῦ χειμάρρου τοῦ νῦν Κλαδισσοῦ καλουμένου (τοῦ καθ᾽ Ὅμηρον ἴσως Ἰαρδάνου) καὶ τοῦ Πλατανία (τοῦ κατὰ Πτολεμαῖον Πυκνοῦ), ἓν περίπου Γερμανικὸν μίλιον νοτιοδυτικῶς τῆς νῦν πόλεως Χανίων. ἦν δὲ μεσόγειος, ὡς καὶ αἱ τέσσαρες ἄλλαι τῆς νήσου μεγαλοπόλεις Λύκτος, Κνωσός, Γόρτυν καὶ Φαιστὸς μακρὰν τῆς θαλάσσης ἵδρυντο διὰ τὸν λόγον τὸν ὑπὸ Θουκυδίδου περὶ τῶν παναρχαίων τῆς Ἑλλάδος πόλεων ἡμῖν παραδιδόμενον (ὅρα βιβ. I, 7)· ἴσως δ᾽ ἔκειτο περὶ τὰ νῦν χωρία Βαρύπετρον καὶ Παλαιόκαστρον. Ὅμηρος μὲν γάρ φησιν οἰκεῖν τοὺς Κύδωνας ‘Ἰαρδάνου ἀμφὶ ῥέεθρα’, οἷς δήπου νοεῖται, ὅτι παρὰ τὸν Ἰάρδανον πόλις τις μικρὰ τὸ πρῶτον ὑπὸ Κυδώνων ᾠκεῖτο, τὸν ὕστερόν γε χρόνον μέχρι Πυκνοῦ (Πλατανία) ἐκταθεῖσα· Στράβων δ᾽ ἐκτίθησιν (X, 478 καὶ 479) ὡς Κυδωνία ὑπὲρ τὴν θάλασσαν ἵδρυτο τεσσαράκοντα αὐτῆς διέχουσα σταδίους· Πλίνιος δ᾽ ὡς κατεναντίον αὐτῆς αἱ νῆσοι Λευκὴ καὶ αἱ δύο Βουδρόαι ἦσαν (Leuce καὶ duae Budroae, Plin. hist. nat. IV, 20)· Σκύλαξ δ᾽ ἐν τῷ Περίπλῳ (σ. 18) ὡς ἡ πόλις λιμένα εἶχε κλειστόν, δῆλα δὴ ἐν τῇ εἰσόδῳ κλειόμενον. τούτοις ἄρα δῆλον ὡς ἡ πόλις Κυδωνία μεσόγειος ἦν, τὴν Μινῴαν (τὰ νῦν Χανία) ἔχουσα ἐπίνειον, ἄλλως γὰρ οὐκ ἔστιν ἐξηγηθῆναι ὅπως ἡ πόλις 40 σταδίους κατὰ τὸν Γεωγράφον ἀπεῖχε τῆς θαλάσσης, κατὰ δὲ τὸν Πλίνιον κατεναντίον τὰς νήσους Λευκὴν καὶ Βουδρόας (νῦν Θεοδωροῦ) εἶχεν· αἱ νῆσοι γὰρ αὗται κατέναντι περίπου τῶν ἐκβολῶν τοῦ Πυκνοῦ (τοῦ Πλατανία) καὶ οὐ τῶν Χανίων κεῖνται. τούτοις οὖν ἅπασι συνάγεται, ὡς ἐσφαλμένως λίαν ὁ νεώτερος περιηγητὴς Ἄγγλος Paschley (I. p. 23 κτέ.) ὥρισε τὴν Κυδωνίαν παραλίαν εἶναι. ὅρα δὲ τὰ εἰκότα περὶ τῆς τῶν Κυδώνων ἐκτάσεως καὶ τῆς τῶν Κυδωνιατῶν πόλεως Hoeck, I, 23, 144—147 καὶ 383—384. παράβ. καὶ τὰ ἔμπροσθιν, ἐν §. 15.

3) Ὅρα κατωτέρω, Ε΄. Δωριεῖς.

4) Ὅρα βιβλ. II, 85. παράβ. καὶ Müller's Aeginet. p. 113. — Ἡ τῶν Πολιχνιτῶν ἀντίστασις τῇ μητρὶ τῶν Κρητικῶν πόλεων Κυδωνίᾳ δείκνυσιν ἀρκούντως, ὡς ἡγούμεθα, ὡς οὗτοι οὐκ ἐν Πολίχνῃ τὸ πρῶτον ᾤκουν, ἀλλ᾽ ἐπ᾽ ἐκτάσεως ἱκανῆς τοῦ δυτικοῦ τῆς νήσου μέρους κατὰ κώμας, ὧν ἡ μείζων πολίχνη ἦν, ἐκ τούτου δ᾽ ὑπὸ τῶν ἀντιζήλων Κυ-

ὅτι λήξαντος τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ δὴ ἐν ταῖς μεγάλαις διχοστασίαις τῶν πόλεων τῆς νήσου πρὸς ἀλλήλας καὶ ταραχαῖς ταῖς ἀπὸ τοῦ μέσου τῆς τρίτης π. Χ. ἑκατονταετηρίδος δεινωθείσαις[1]), ἐξαδυνατῆσαν καὶ τὸ ἐν τοῖς δυτικοῖς τῆς νήσου λείψανον τοῦτο τῶν Ἐτεοκρήτων, συνεμίγη τοῖς Κυδωνιάταις, οἵ περ ἦρχον ἀεὶ ἐν ἅπαντι τῷ δυτικῷ τῆς Κρήτης, ἐν ᾧ ἔκειντο πόλεις μεγάλαι, οἷα ἡ Πολυρρηνία, ἡ Φαλάσαρνα, ἡ Ἀπτέρα, ἡ Κίσαμος, ἡ Ἔλυρος, ἡ Τάρρα, ἡ Λάμπη καὶ ἄλλαι.

§ 18. Ταῦτα καὶ περὶ Κυδώνων. τούτους δ' ἐθεωρήσαμεν εἰκοτολογοῦντες πρώτους εἰς τὴν νῆσον ἐπήλυδας, ἑπόμενοι ἀεὶ ταῖς διακεκριμέναις τοῦ Ποιητοῦ λέξεσιν, „ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες," καί περ τοῦ σχολιαστοῦ αὐτοῦ Εὐσταθίου καὶ Στράβωνος φάσκοντος[2]), Πελασγοὺς μὲν καὶ Ἀχαιοὺς καὶ Δωριεῖς εἶναι ἐπήλυδας, Ἐτεόκρητας δὲ καὶ Κύδωνας αὐτόχθονας, τοῦτό γε ἴσως διὰ τὸ τοῦ χρόνου πλῆθος, εἰς ὃ βυθίζεται, ὅλως ἀνιστόρητος γιγνόμενος ὁ χρόνος τῆς πρώτης εἰς Κρήτην διαπεραιώσεως ἐπηλύδων· οὗτοι γὰρ οὔκ εἰσιν Ἐτεόκρητες, γνήσιοι Κρῆτες, ἀλλ' ἕτεροι, Κύδωνες. ἀλλ' ὅμως ταῦτα καὶ ἕτερά φαμεν εἰκοτολογοῦντες, ἡ δ' ἱστορία, ἥπερ ἔκθεσις ἔν τε τόπῳ καὶ χρόνῳ γεγονότων καὶ ἀναμφιλέκτων ἀληθειῶν ἐστιν, οὐχ εὑρίσκει γε βάσιν ἐν αὐτοῖς στερεὰν πρὸς ἔργου στερεοῦ ἐποικοδόμησιν ἐλλείψει, ὡς ἐν ἀρχῇ ἡμῖν εἴρηται, βοηθημάτων καὶ δὴ περὶ τῶν πρώτων κατοίκων τῆς Κρήτης, διό περ καὶ πᾶσαν τήνδε τὴν πραγματείαν ἀπόπειράν τινα ἱστορικήν φαμεν εἶναι.

## Γ'. Πελασγοί.

§ 19. Τὸ Λυκαυγὲς τῆς τοῦ Ἑλληνικοῦ ἔθνους καὶ βίου ἡμέρας ἐστὶν ὁ καλούμενος Πελασγικὸς λαός. καί περ γὰρ μὴ φαινομένων ἀόπλοις ὀφθαλμοῖς, ὡς ἀπὸ δυσμῶν ὁρίζοντος ἀχανοῦς, σημείων πρὸς ἀνατολὰς διαυγάσματος, ἀλλ' οὖν γε ὑπὸ τῶν καθωπλισμένων τῇ περὶ τὴν γλῶσσαν ἐπιστήμῃ τῶν καθ' ἡμᾶς σοφῶν ὁρῶνται γραμμαὶ χαρακτηριστικαί, οἷα προάγγελοι τῆς ἀνατολῆς τῆς ῥοδοδακτύλου τῆς καλῆς Ἑλλάδος Ἠοῦς οὖσαι. καὶ παρὰ τοῖς ἀρχαίοις δ' ἦσαν ἀμυδραί τινες καὶ συγκεχυμέναι ἰδέαι περὶ ὑπάρξεως παναρχαίου λαοῦ Πελασγικοῦ καλουμένου, ὃς τὸ ἐξώτατον ἄκρον τῆς ἱστορικῆς τοῦ Ἑλληνικοῦ ἔθνους ὑπάρξεως νομιζόμενος, ηὐτρέπισεν ἀρχῆθεν τὴν τῆς Ἑλλάδος ἐπιφάνειαν πρὸς εὐχερῆ τοῦ λοι–

δωνιατῶν Πολιχνῖται ἤκουον. καὶ ἡ διατριβὴ δ' ἐν Κρήτῃ στόλου Ἀθηναϊκοῦ ἐν δειναῖς περιστάσεσιν ἐπὶ συμμαχίᾳ τῶν Πολιχνιτῶν πρὸς τοὺς Κυδωνιάτας δείκνυσιν οὐχ ἧττον ἀρκούντως ὡς οἱ καλούμενοι Πολιχνῖται οὐκ εὐκαταφρόνητός τις μοῖρα τὸ πρῶτον τοῦ ἐν τοῖς δυτικοῖς τῆς νήσου λαοῦ ἦν.

1) Ὅρα Hoeck, III, 71 καὶ 472. 2) Ὅρα βιβλ. X, 728.

ΒΙΒΛΙΟΘΗΚΗ ... MDCCCLXVII



που κοινωνικὴν ἐν αὐτῇ διαβίωσιν[1]), ἀλλ' οὐδέν τις ᾔδει περὶ τῆς πρώτης αὐτοῦ κοιτίδος. ἐκ τῶν ἀμυδρῶν δὲ τούτων ἰδεῶν τῶν ἀρχαίων, οἵ περ ἐγγύτερον ἡμῶν ἐκείνῳ τῷ λαῷ, οἷός ποτ' ἂν ἦν, ἵσταντο ἐκπροσωποῦντες, οὕτω φάναι, τὴν νεωτέραν αὐτοῦ περίοδον, καὶ ἐκ τῶν πολυμόχθων ἐργασιῶν τῶν καθ' ἡμᾶς σοφῶν πρὸς ἀνακάλυψιν τῶν πηγῶν, ἐξ ὧν τὸ πρῶτον ὁ Ἑλληνικὸς λαὸς ἀπέρρευσε, καταδείκνυται τὸ μέγεθος τῆς δυσχερείας τοῦ ζητήματος, οὐ τολμῶμεν ἀκροθιγῶς ἐνταῦθ' ἅψασθαι, ἐπειγόμενοί γε τῇ φύσει τῶν πραγμάτων, ἃ πραγματευόμεθα.

§ 20. Τρία βοηθήματα προὔκειτο τοῖς ἀρχαίοις καὶ πρόκειται τοῖς νεωτέροις πρὸς πιθανὴν γοῦν τινα ἀναπλήρωσιν τῆς διὰ χρόνου πλῆθος ἀφανοῦς ἀρχῆς, ἥ περ καὶ ἐν τῇ θεμελιώσει τῆς ἱστορίας τοῦ Ἑλληνικοῦ ἔθνους αἰτεῖται. ταῦτά εἰσιν αἱ περὶ θεῶν καὶ ἡρώων παραδόσεις, τὰ τῆς τέχνης μνημεῖα καὶ ἡ γλῶσσα.

Αἱ περὶ θεῶν παραδόσεις εἰσὶν ἡ προϊστορία, οὕτω φάναι, οὐ μόνον τοῦ Ἑλληνικοῦ λαοῦ, ἀλλὰ καὶ τῶν ἄλλων κλάδων τῶν ἐκ τοῦ αὐτοῦ στελέχους τὴν ἀρχὴν τοῦ γένους ἐχόντων, τοῦ τῶν Ἀριανῶν. ἐν ταύταις ταῖς περὶ θεῶν καὶ τῶν μεταξὺ αὐτῶν καὶ τῶν θνητῶν παρεμπιπτόντων ὄντων, τῶν ἡρώων ἢ ἡμιθέων, ποικίλαις ἐν εἰκόσι καὶ συμβόλοις παραδόσεσιν ἐγκλείεται ἱστορία μακαρίας τινὸς κοινωνίας ἐν τῷ ἀνθρωπίνῳ γένει, ὃ βιοῦν, ὡς ἔοικεν, ἐν εὐρυτέρῳ τοῦ περὶ τὸ Αἰγαῖον χώρῳ, κατέρρευσε μετὰ πολλοὺς αἰῶνας ἐξ ἡρωϊκῆς δυνάμεως εἰς ἠδυπάθειαν καὶ ἀσθένειαν κατολισθῆσαν[2]). ἀλλὰ τὰ Ὁμήρου ἔπη μαρτυρεῖ ἡμῖν σαφέστερον παναρχαίαν τινὰ ἐν ταῖς Εὐρωπαϊκαῖς καὶ ταῖς Ἀσιαναῖς κοινότησι μέχρι τῆς ἡρωϊκῆς ἐποχῆς ἐπιμιξίαν[3]), ἥπερ γλωσσικὴν ἐν ἀλλήλαις αὐταῖς προϋποτιθεῖσα κατάληψιν πείθει ἡμᾶς ἀποδέξασθαι μᾶλλον ἄμεσον τῶν παναρχαίων Ἑλλήνων συγγένειαν πρὸς τὸ οἰκοῦν ἐν τοῖς δυτικοῖς τῆς Ἀσίας γένος ἢ μίμησιν καὶ ἁπλῇ ἐπιμιξίᾳ μεταγωγὴν τῶν πρώτων θρησκευτικῶν καὶ κοινωνικῶν ἐκείνου παραδόσεων ἐν τοῖς πρώτοις

1) Ὅρα Ἡρόδ. I. 56 καὶ 57. Hoeck, II, 250. Bernhardy's Grundriss der gr. Liter., dritte Bearb., I, 22—230. E. Curtius gr. Gesch. I, 25. Schöman's gr. Alterth. I, 8—10.

2) Ὅρα τὰ λεγόμενα Ἡσιόδεια Ἔργα καὶ Ἡμέραι, στ. 120—173.

3) Κατὰ τὰς παραδόσεις Προῖτος ὁ Τίρυνθος βασιλεύς ἐστι γαμβρὸς Ἰοβάτου τοῦ Λυκίας, ᾧ ἐκπέμπει Βελλεροφόντην ἐπὶ θανάτῳ· ἐκ Λυκίας δὲ καλοῦνται εἰς Πελοπόννησον οἰκοδόμοι, οἱ Κύκλωπες· ἐν Λυδίᾳ θητεύει Ἡρακλῆς παρ' Ὀμφάλῃ· ἐκ τῶν παραλίων δ' αὐτῆς, τῆς ὕστερον Ἰωνίας, μετέχει τοῦ ἐν τῷ βάθει τοῦ Εὐξείνου (ὅπου Αἰήτης ὁ Φρύξου τοῦ Ἀθάμαντος πενθερὸς καὶ ἀδελφὸς Κίρκης καὶ Πασιφάης τῆς Μίνωος γυναικὸς ἐβασίλευεν) ὁ Μιλήσιος Ἐργῖνος, καὶ ἄλλα πολλά, ἐν οἷς καὶ τὰ τοῖς θεοῖς ἀναγόμενα, ὧν Ζεὺς μὲν ἀπὸ τῆς Φρυγικῆς Ἴδης εἰς Δωδώνην, Ὄλυμπον, Λύκαιον καὶ τὴν Κρητικὴν Ἴδην περιάγεται, Ἀπόλλων δὲ θητεύει καὶ παρὰ Λαομέδοντι ἐν Ἀσίᾳ καὶ παρ' Ἀδμήτῳ ἐν Θεσσαλίᾳ.

*Ἕλλησι. τὸ δὲ τῶν παναρχαίων οἰκοδομῶν καὶ ἄλλων ἔργων ὁμογενὲς καὶ ὁμόρρυθμον, τῶν ἐσκεδασμένων ἐν ἐνδελεχεῖ ἐπιφανείᾳ ἀπὸ τοῦ τῆς Μικρασίας μέσου μέχρι τῶν Τιβέρεως ἐκβολῶν, τὸ παρατηρηθέν τε καὶ ἐξερευνηθὲν ὑπὸ τῶν τῆς ἀρχιτεκτονικῆς καὶ τῆς τέχνης ἱστοριογράφων*[1]) *ἐστὶ τὸ δεύτερον βοήθημα καὶ ἡ ζῶσα μαρτυρία τῆς ὁμογενείας τῶν λαῶν τῶν ἀνὰ τὸν χῶρον τοῦτον πάντα ποτὲ οἰκησάντων καὶ ταῖς αὐταῖς βιωτικαῖς ἐπειχθέντων ἀνάγκαις, ἐναποτυπωσάντων δὲ τὸν τῆς ὁμογενείας ταύτης χαρακτῆρα ἐπὶ τῶν ἔργων αὐτῶν.*

§ 21. *Καὶ τὰ μὲν τεκμήρια ταῦτα καὶ βοηθήματα περὶ τῆς ὁμογενείας τῶν λαῶν τῶν ἀνὰ τὸν χῶρον τοῦτον οἰκησάντων, ἥ τε ταὐτότης τῶν πρώτων θρησκευτικῶν ἰδεῶν καὶ ἡ ὁμοιότης τῶν πρώτων βιωτικῶν καὶ κοινωνικῶν ἔργων αὐτῶν ἐξηρευνήθη καὶ ἐν ποιήσει καὶ πεζῷ λόγῳ πολυειδῶς ἡμῖν ἐξετέθη ὑπό τε ἀρχαίων καὶ νεωτέρων, ὧν οἱ μὲν δαψίλειαν πρὸ ποδῶν οἰκείων αὐτοῖς βοηθημάτων ἔχοντες, οὐκ ἐμόχθησαν ὡς οἱ σπανίζοντες αὐτῶν νεώτεροι· ἀλλὰ τῷ τρίτῳ, τῇ γλώσσῃ, ἥπερ εὐρυτέραν ἔχει τὴν ἔκτασιν, οἷα ἀντανακλαστικῶς παριστᾶσα τὰς ἐκ τῶν περικειμένων ἐγγιγνομένας τῷ ἀνθρώπῳ ἰδέας καὶ ἐννοίας, οὐ προσέσχον ἐκεῖνοι τὸν νοῦν ὡς οἱ νεώτεροι, οἱ φῶς τῷ πυκνῷ σκότει τῶν ἀρχῶν τῆς τῶν Ἰνδοευρωπαϊκῶν λαῶν ἐθνογραφίας ἐπιχέαντες τῇ παραβολικῇ τῶν γλωσσῶν τούτων ἐξετάσει καὶ τῇ τοσούτῳ ἀκριβεῖ τῆς Ἑλληνικῆς ἀναλύσει, ὥστε καὶ αὐτοὺς τοὺς ἀρχαίους ἐκπλαγῆναι. Ἡρόδοτος δὲ καὶ οἱ ἄλλοι οἱ αὐτῷ ἑπόμενοι, καί περ κατάγοντες ἐξ Ἀνατολῆς*[2]) *οὐ μόνον τὴν νηπιώδη τῶν διαφόρων τῆς οἰκοδομίας ἔργων κατάστασιν καὶ τὰς πρώτας θρησκευτικὰς ἰδέας καὶ παραδόσεις, ἅπερ καὶ τῶν οὐκ ἄνευ ἐστὶ πᾶσιν ἀνθρώπους οὖσι, καὶ ὁμοιόμορφα ἐν ὁμοφύλοις, ἀλλὰ καὶ τὴν τέχνην καὶ τὴν φιλοσοφίαν, ἅπερ καὶ*

1) *Ὅρα* W. Mure im Rhein. Mus. VI, 240 *κτέ.* Welcker's kl. Schr. III, 353 *κτέ.* Ross Hellen. p. XV. Müller's Handb. der Archäol. § 45 *κτέ.* W. Gell's Probestücke von Städtemauern des alten Griechenlands aus dem Engl., München 1831.

2) *Τοὺς Ἴωνας ἰδίᾳ, τοὺς ἀμέσως Φρυξί τε καὶ Λυδοῖς γειτνιάζουσιν, ἐθεώρουν (ὅρα Στράβ.* XVII, 802) *ὡς τὴν μεταγαγοῦσαν ἐξ Ἀνατολῆς εἰς Ἑλλάδα γέφυραν τὰς ἀρχὰς πάσης σχεδὸν τέχνης καὶ μαθήσεως. οἱ ἀρχαῖοι ἀποροῦντες καὶ πρὸς τὰς ἀρχὰς τῶν τεχνῶν τοῦ ἔθνους αὐτῶν καὶ τῶν γνώσεων, ἐν αἷς καὶ αἱ τῆς θρησκευτικῆς λατρείας, ἀπηλλάττοντο λέγοντες μεταδοθῆναι ταύτας τοῖς Ἕλλησιν ὑπὸ τῶν πρότερον ἐπὶ τὰ πρόσω χωρησάντων τῆς Ἀνατολῆς κατοίκων. ἀλλ' ἡ ἐν τοῖς νεωτέροις ἐπιστήμη δείκνυσιν, ὡς αἱ ἀρχαὶ αὗται οὐ μετεδόθησαν, ἀλλὰ κοιναὶ ἦσαν, ὡς κοινῆς καὶ τῆς τοῦ γένους ἀρχῆς οὔσης. ζήτημά δ' ἐστιν εἰ ἀπὸ τῶν Τρωϊκῶν οἱ Ἕλληνες, καὶ ἰδίᾳ οἱ Ἴωνες, μετέλαβον ἐκ τῶν Ἀσιανῶν καὶ Αἰγυπτίων ἢ μετέδωκαν αὐτοῖς τῶν ἰδίων τεχνῶν καὶ γνώσεων· ἡ ἐπὶ Φείδωνος τοῦ Ἀργείων βασιλέως μόνον ἐν τοῖς Ἕλλησιν εἰσαγωγὴ τοῦ νομισματικοῦ συστήματος, τῶν μέτρων καὶ τῶν σταθμῶν τῆς Ἀσίας, μέρους σπουδαιοτάτου τοῦ κοινωνικοῦ βίου, ἰσχύει, ὡς ἡγούμεθα, πρὸς δεῖξιν τῆς δυσχεροῦς παραδοχῆς τῶν ἐξ Ἀσίας.*

κτῆμά ἐστι λαοῦ, οἷος ὁ Ἑλληνικὸς ἦν, πρὸς πρόοδον βαίνοντος, διανοουμένου καὶ δρῶντος καὶ μὴ ἀεὶ νηπιάζοντος, κτηθέντα δηλαδὴ ταῖς ἰδίαις αὐτοῦ ἐν τόπῳ καὶ χρόνῳ περιστάσεσιν, ὅμως οὐκ ἠδυνήθησαν γλώσσης συγγένειαν διϊδεῖν ἐν τοῖς λαοῖς τοῖς ἐν ταῖς χώραις ταύτης οἰκήσασι. τῶν διασωσάντων δὲ τὸ ἀρχαῖον τῶν Πελασγῶν ὄνομα κατοίκων τῆς Ἄθω χερσονήσου[1]), καὶ τῶν τῆς Κρηστῶνος, τῆς Πλακίας καὶ τῆς Σκυλάκης γλῶσσαν βάρβαρον φθεγγομένων, δηλαδὴ μὴ Ἑλληνικήν[2]), μηδὲν στοιχεῖον συγγενὲς ταῖς ἀμφοτέρωθεν τοῦ Αἰγαίου διαλέκτοις τῶν Ἑλλήνων περιέχουσαν, πολλῷ γε βαρβαρωτέραν ἵεσαν φωνὴν οἱ πέραν τῶν Αἰολικῶν καὶ τῶν Ἰωνικῶν ὁρίων οἰκοῦντες Φρύγες, Μυσοί, Λυδοὶ καὶ οἱ ἄλλοι Μικρασιανοί. οὕτως οὖν ἀπέκειτο τοῖς νεωτέροις τὸ δυσχερὲς ἔργον τῆς λύσεως τοῦ ἐθνογραφικοῦ προβλήματος, τῆς παραθέσει καὶ συγκρίσει τῶν γλωσσῶν ἀνευρέσεως τῆς ἱστορικῆς ἀρχῆς τῶν Ἰνδοευρωπαϊκῶν λαῶν, ὧν εἷς καὶ ὁ Ἑλληνικός ἐστιν.

§ 22. Ἡ παραθετικὴ καὶ συγκριτικὴ τῶν γλωσσῶν ἐπιστήμη, ἧς σκοπὸς πρὸς τῇ ἀνιχνεύσει τῆς ἀρχεγόνου τῶν τε κλασσικῶν καὶ τῶν ἄλλων Ἀριανῶν γλωσσῶν καταστάσεώς ἐστι καὶ ἡ ἀνεύρεσις τῆς συγγενείας καὶ τῆς ἱστορικῆς πορείας αὐτῶν, εἶτα δὲ καὶ τῆς ἱστορικῆς ἀρχῆς τῶν φθεγγομένων αὐτὰς λαῶν, ἐνορᾷ οὐ μόνον ἐν τῇ Ἑλληνικῇ ἀρχέγονον τῇ Σανσκριτικῇ ὁμοιότητα, ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἀνέκαθεν ἀπὸ τοῦ μέσου τῆς Ἀσίας ἄχρι τῶν ἀπωτάτων τῆς Εὐρώπης χωρῶν φθεγγομέναις γλώσσαις· διδάσκει δ' ὡς ἦν τις χρόνος, ἐν ᾧ ἡνωμένα τὰ διάφορα ὁμογενῆ φῦλα ὄντα, τὴν αὐτὴν χώραν ᾤκουν, ὡς κοινὸν δ' αὐτοῖς ἐνδιαίτημα τὴν περὶ τὴν Ἀριανὴν καὶ τὴν Βακτριανὴν ὑψηλὴν τῆς Ἀσίας χώραν ἀποδέχεται. οὕτως οὖν μετάγοντες τὴν κοιτίδα τῶν Ἰνδοευρωπαϊκῶν λαῶν εἰς τὰς χώρας ταύτας, συμμετάγομεν ἐν αὐτῇ καὶ τὸν παναρχαῖον Ἑλληνικὸν εἰς Ἀσίαν, ὅθεν ἑψόμεθα αὐτῷ τῇ ἐφικτῇ ἡμῖν ἀκριβείᾳ καὶ συντομίᾳ ἐκλυομένῳ

1) Ὅρα Θουκυδ. IV, 109. παράβαλε καὶ τὰ νέα ὑπὸ Κραμέρου Στράβωνος ἀποσπάσματα, βιβλ. VII, 'ᾤκησαν δὲ τὴν Χερσόνησον ταύτην τῶν ἐκ Λήμνου Πελασγῶν τινες, εἰς πέντε διῃρημένοι πολίσματα, Κλεωνάς, Ὀλόφυξον, Ἀκροθώους, Δῖον, Θύσσον.'

2) Οὕτω φησὶν Ἡρόδοτος ἐν I, 57 καὶ 58. — Ἐπὶ τῶν Τρωϊκῶν καὶ ἐν τοῖς Ὁμηρικοῖς χρόνοις οὐκ ἦν ἐν χρήσει ἡ λέξις βάρβαρος. Ὅμηρος χρῆται ταῖς λέξεσι ταῖς συνθέτοις 'ἀγριόφωνος' καὶ 'βαρβαρόφωνος' ('Σίντιας ἀγριοφώνους' 'Καρῶν βαρβαροφώνων'. Ὀδύσσ. Θ, 297. Ἰλ. Β, 867), δηλαδὴ ἄνθρωπος τραχέως καὶ σκληρῶς φθεγγόμενος (ὅρα Schömann's gr. Alterth. I, 86), οὐκ οἶδε δὲ τὸ παράπαν τὴν ἁπλῆν βάρβαρος, ᾗπερ ἐχρήσαντο οἱ Ἕλληνες ἐν τοῖς ἱστορικοῖς χρόνοις καὶ δὴ ἐπὶ τῶν Περσικῶν καὶ μετ' αὐτά, σημαίνουσαν κοινῶς τὸν μὴ Ἕλληνα καὶ τὸν ἀνελεύθερον (ὅρα Θουκυδ. II, 97, καὶ Ξενοφ. Κύρ. Ἀνάβ. VI, 5, 16. παράβ. καὶ Hermann's Staatsalt. §7, 17). Θουκυδίδης δέ φησι μὴ εἶναι τὴν λέξιν βάρβαρος ἐν χρήσει ἐπὶ τῶν Τρωϊκῶν διὰ τὸ μήπω διαδεδόσθαι καὶ τὴν αὐτῇ ἀντίθετον Ἕλλην. ὅρα I, 17.

τοῦ ἐν τῇ Ἀριανῇ πρωτογενοῦς στελέχους καὶ τὴν πρὸς δυσμὰς πορευομένῳ.

§ 23. Οἱ δεινοὶ τὴν παραθετικὴν καὶ συγκριτικὴν τῶν Ἰνδοευρωπαϊκῶν γλωσσῶν ἐπιστήμην φασί, πλὴν τῶν λαῶν τῶν ἀπὸ τῆς ὅλης ὁμάδος ἐκλυθέντων καὶ τοῦ κοινοῦ ἐν Ἀσίᾳ ἐνδιαιτήματος ἐκχωρησάντων, τουτέστι τοῦ ἐπὶ μεσημβρίαν τραπέντος, ἐπὶ τὴν Ἰνδικήν, καὶ τῶν τὸν Ὦξον ὑπερπηδησάντων καὶ ἄνω τῶν βορείων τῆς Κασπίας παραλιῶν τὰ Οὐράλια ὑπερβάντων καὶ εἶτα πρὸς δυσμὰς χωρησάντων Κελτῶν, Γερμανῶν, Λιθουανῶν καὶ Σλάβων, ἀποσπασθῆναι ὀψὲ μετ' αὐτοὺς τὸν τῶν Γραικοϊταλῶν ἢ Πελασγῶν[1]). ἕτεροι δ' εἰσὶν οἱ λέγοντες, ὡς οἱ Γραικοϊταλοὶ συνέχειά τις τῶν μεταξὺ αὐτῶν καὶ τῆς Ἀριανῆς χώρας παρεμπιπτόντων Ζενδικῶν λαῶν, τῶν Περσῶν, τῶν Μήδων, καὶ τῶν Ἀρμενίων εἰσίν[2]). ἡ πρώτη δὲ πρὸς Εὐρώπην χωρήσασα Ἀριανὴ μοῖρα λογίζεται περὶ τὰ τρισχίλια π. Χ. ἔτη τῆς ὅλης ὁμάδος ἀπο-

1) Πολλὰ περὶ τοῦ ὀνόματος τῶν Πελασγῶν ἐλέχθη καὶ λέγεται τοῖς τε φιλολόγοις καὶ τοῖς γλωσσοφιλοσόφοις σκοποῦσιν ἐκ τίνος γλώσσης τὴν ἀρχὴν ἔχει καὶ τί ποτε σημαίνει συνῳδὰ τῇ ἰδέᾳ, ἣν περὶ τοῦ λαοῦ τούτου οἱ ἀρχαῖοι, καὶ δὴ Ὅμηρος, εἶχον. Οἴκκιος μὲν οὖν βουλόμενος ἐτυμολογικῶς τι περὶ τῶν Πελασγῶν πορίσασθαι καὶ ἀντικρούων τῇ ἐκ τοῦ 'πέλαγος' παραγωγῇ τοῦ ὀνόματός φησιν (Hoeck, I, 149 καὶ 150, ὑποσημ.) ὀρθοτέραν γλωσσικῶς εἶναι τὴν ἐκ τοῦ 'πέλας' καὶ 'γῆ' (οἷον οἱ πέλας γῆν ἔχοντες, οἱ ἐγγύς, οἱ πλησίον οἰκοῦντες)· Μύλλερος δὲ βουλόμενος εἰς συμφωνίαν ἀγαγεῖν τὰ περὶ τῆς φύσεως καὶ τοῦ βίου τῶν Πελασγῶν παραδιδόμενά φησιν ἐκ τοῦ 'πέλω' καὶ 'ἄργος' τὴν παραγωγὴν τοῦ ὀνόματος μᾶλλον προσεοικέναι (ὅρα O. Müller's Orchom. S. 125)· Δοιδερλαΐνος δ' ἐκ τοῦ 'πλάζω', οἷα φερεοίκους καὶ ἀλήτας τοὺς Πελασγοὺς εἶναι· καὶ ἄλλοι πολλοὶ ἄλλοθι (ὅρα Schömann's gr. Alterth. I, 4 ἐν ὑποσημειώσεσιν). οἱ πλεῖστοι δὲ καὶ βέλτιστοι ὁρῶσιν ἐν τῇ λέξει παραγωγὴν καὶ σύνθεσιν ἐκ τῆς Ἑλληνικῆς, ἀλλὰ μὴ ἐκ τῆς Αἰγυπτιακῆς (ὅρα Schöm. ἔνθ' ἀνωτέρω, παράβ. καὶ Gladstone, Bd. I, S. 211 ff.). ὁ δεινὸς δὲ περὶ τὴν συγκριτικὴν τῶν Ἰνδοευρωπαϊκῶν γλωσσῶν ἐπιστήμην καθ' ἡμᾶς καθηγητὴς Γ. Κούρτιος ἀποδοκιμάζει (ὅρα. gr. Etymologie, II, 40) τὴν Μυλλέρου ἑρμηνείαν, ἀλλ' οὔθ' ἑτέραν τινὰ τῶν πολλῶν ἄλλων γνωμῶν αἱρεῖται, οὔτ' ἰδίαν ἀποφαίνεται· οὐκ ἀπεικότως γε· προκειμένου γὰρ περὶ ὀνόματος, οὐ ἡ ὀρθή, ἄπταιστος καὶ τῷ χρόνῳ βεβασανισμένη ἑρμηνεία οὐ μικρὸν τὴν ἀρχὴν τοῦ Ἑλληνικοῦ ἔθνους διαφωτίσει, δέον τὴν σπουδὴν ἐν ὑστέρῳ τίθεσθαι· ἄλλως ὁ καθηγητὴς τὴν ἀρχὴν τοῦ γένους πάντων τῶν Ἰνδοευρωπαϊκῶν ἐθνῶν εἰς τὴν ἐν Ἀσίᾳ Ἀριανὴν καὶ Βακτριανὴν χώραν ἀνάγων, κατ' ἀρχήν γε συμφωνεῖ τοῖς λέγουσι τὸ ὄνομα Πελασγοὶ Ἑλληνικὸν ἢ Ἰνδοευρωπαϊκόν, ἀλλὰ μὴ Σημιτικόν εἶναι. ἡμεῖς δ' ἐκτιθέντες ἐν τῇδε τῇ πραγματείᾳ τὰ περὶ Πελασγῶν καὶ τῶν ἄλλων, οὐκ ἀξιοῦμεν τὸ παράπαν ἱστορίαν, καθ' ἅπερ ἐν πολλοῖς φαμεν, συγγράφειν, ἀλλ' ἀπόπειραν ἱστορικὴν ἁπλῶς ποιεῖσθαι.

2) Σχλέγελος ἐν τῷ περὶ γλώσσης καὶ φιλοσοφίας Ἰνδῶν συγγράμματί φησιν (Heidelb. 1808, S. 75) τοὺς Ἀριανοὺς λαούς, πλὴν τῶν Ἰνδῶν, τὸν Ὦξον ὑπερβῆναι καὶ παραπορευθέντας τὴν βόρειον τῆς Κασπίας παραλίαν καὶ τὰ βόρεια τοῦ Καυκάσου πρὸς τὰ πρόσω χωρῆσαι. τούτοις γε δηλοῦται ὡς μία τις κίνησις τῶν λαῶν ἐκείνων συνεχὴς ἐγένετο καὶ ἐπὶ ταὐτὰ τροπή. ἀλλὰ ταῦτα ἐξελέγχεται, ὡς μὴ οὕτως ἔχοντα, ἐὰν ἐπὶ τῆς τῶν Ζενδικῶν ἢ Ἀραμικῶν καὶ τῶν Γραικοϊταλικῶν λαῶν θέσεως ἀποβλέψωμεν, τῶν μὲν κάτωθεν τῆς Κασπίας ἱδρυθέντων, τῶν δὲ τὰ τῆς Ἀρμενίας ὄρη ὑπερβάντων καὶ δυτικώτερον πρὸς τὰ πρόσω χωρησάντων.

σπασθεῖσα· περὶ τέλη δὲ τῆς πρώτης τῶν τριῶν χιλιετηρίδων τούτων ἢ περὶ ἀρχὰς τῆς δευτέρας δοκεῖ τὴν Γραικοϊταλικὴν ἢ Πελασγικὴν μοῖραν ἐκτετάσθαι, ἐντεῦθεν γοῦν τοῦ Ἑλλησπόντου ἄχρι Λατίου· τὰ γὰρ ἀπὸ τῶν ποταμῶν Ῥυνδάκου καὶ Σαγγαρίου τῆς Μικρασίας μέχρι τῶν Τιβέρεως ἐκβολῶν ἐσκεδασμένα τῶν παναρχαίων χρόνων ἔργα καὶ μνημεῖα φέρουσι σφραγῖδα πολλαῖς πρὸ τῶν Τρωϊκῶν ἑκατονταετηρίσιν οἰκείαν.

§ 24. Ἡ τῶν Γραικοϊταλῶν ἢ Πελασγῶν Ἀριανῶν μοῖρα τὰ Ἀρμενικὰ ἢ Γορδυαῖα ὄρη ὑπερβᾶσα, ἐξετείνετο πρὸς δυσμὰς ἄχρις οὗ εὗρε πρόσκομμα τῇ πρὸς τὰ πρόσω φορᾷ τὸν Εὔξεινον, τὸν Ἑλλήσποντον καὶ τὸ Αἰγαῖον. ἐν τῷ χρόνῳ τούτῳ εἰς πλῆθος ἐπιδοὺς ἐν ταῖς Φρυγικαῖς καὶ ταῖς Μυσικαῖς πεδιάσι, καὶ δὴ ταῖς μεταξὺ Σαγγαρίου καὶ Μαιάνδρου, ἔοικε κατασχεῖν καὶ τὰς ἀπὸ Σιγείου ἀκρωτηρίου μέχρι Λυκίας παραλίας, διὸ καὶ ἑκατονταετηρίδας ὕστερον Λύκιοι μὲν χρῶνται ἐπιμιξίᾳ πρὸς τοὺς κατεναντίον ὁμοφύλους, τοὺς ἐν Πελοποννήσῳ καὶ Κρήτῃ, Κᾶρες δὲ καὶ Λέλεγες πλέουσι συνεχῶς πρὸς τὰς παραλίας αὐτῶν, τὰ δὲ Τρωϊκὰ δοκεῖ πάλην τινὰ εἶναι ἐν τοῖς ἐντεῦθεν καὶ ἐκεῖθεν τοῦ Αἰγαίου οἰκοῦσιν ὁμοφύλοις, ὧν οἱ μὲν Ἀχαιοί, οἱ δὲ Τρῶες καὶ Δάρδανοι ἐκαλοῦντο[1]), ὡς ὁ ὑστέρῳ χρόνῳ Πελοποννησιακὸς πόλεμος ὁ μεταξὺ Σπαρτιατῶν καὶ Ἀθηναίων. ἀπὸ τῶν Ἀριανῶν τούτων τῶν κατασχόντων τὰς τῆς Μικρασίας παραλίους χώρας ἔοικεν ὀψὲ τὴν τῶν Ἰώνων Ἑλλήνων φυλὴν βλαστεῖν, ἢ ἰδίᾳ ἀπὸ τῆς ἐν τοῖς Πελασγοῖς Ἀριανοῖς καθαρᾶς Γραικικῆς μερίδος τὴν ἀρχὴν σχοῦσαν, διὸ καὶ ἡ τῆς Ἰωνικῆς διαλέκτου τῇ Λατινικῇ γλώσσῃ ὁμοιότης πολλῷ ἧττων τῆς Αἰολικῆς καὶ τῆς Δωρικῆς ἐστιν, ἢ καίπερ ἐξ ἅπαντος τοῦ Γραικοϊταλικοῦ κλάδου ἐκγενομένην, ἀλλ᾽ οὖν γε καὶ τὸν τῆς γλώσσης χαρακτῆρα καὶ τὸν τοῦ βίου τρόπον ἰδίᾳ διαμορφώσασαν διὰ τὸ πολλαχόθεν αὐτὴν ἐπιμιξίᾳ χρῆσθαι, κατὰ μὲν χέρσον πρὸς τοὺς ἀρχῆθεν ὁμογενεῖς Φρύγας καὶ Μαίονας ἢ Λυδούς, ἐχομένους τε καὶ ἐπιμιγνυμένους ἑτέροις Ἀριανοῖς καὶ Σημίταις, κατὰ δὲ θάλασσαν πρὸς τοὺς κατεναντίον καθαρωτέρους διὰ τέλους ἑαυτοὺς παρέχοντας Γραικοπελασγούς, ὧν ὀψὲ ἐξεγέ-

1) Μάρτυρες τὰ Ὁμήρου ἔπη. ἐν αὐτοῖς μόνοι οἱ Κᾶρες βαρβαρόφωνοι καλοῦνται (Ἰλ. Β, 864), τραχεῖς δηλαδὴ τὴν γλῶσσαν, οἷα τοῖς Φοίνιξι Σημίταις ἐπιμεμιγμένοι τῇ ναυτιλίᾳ. ὅρα καὶ Schöm. gr. Alterth. I, 2, ἐν ὑποσημειώσει, καὶ E. Curtius gr. Gesch. I, 21 καὶ 30, 41 καὶ 42. — Βούτμανος δέ φησι (Mythol. II, 186), ‘οὐ μόνον αἱ ἀλλήλαις ἀντικείμεναι Ἑλλάδος καὶ Μικρασίας παραλίαι ὑφ᾽ ὁμογενῶν λαῶν κατελήφθησαν, ἀλλὰ καὶ οἱ μεσόγειοι καὶ βόρειοι λαοὶ τῆς Μικρασίας συγγενεῖς τοῖς τὴν Θρᾳκικὴν ἤπειρον οἰκοῦσιν ἦσαν· οἱ γὰρ ἀμφοτέρωθεν τοῦ θαλασσίου στενώματος Θρᾷκες, τὰ Θυνῶν καὶ Βιθυνῶν ὀνόματα, τῶν Βρυγῶν καὶ Φρυγῶν, τῶν Παιόνων ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ τοῦτο σαφῶς μαρτυροῦσιν.’ ὅρα καὶ Hoeck, II, 249—251. περὶ τῆς ὁμογενείας τούτης τῶν Θρᾳκῶν καὶ τῶν Μικρασιατῶν παράβ. Ἡρόδ. I, 35, 73, 94 καὶ VII, 91.

νοντο οἱ Ἑλληνικοὶ λαοὶ οἱ εἰς πλῆθος ἀπ' Ὀλύμπου μέχρι Ταινάρου καὶ Κρήτης ἐσκεδασμένοι, ἐξ ὧν αὖθις ὀψιαίτερον ἡ τῶν Αἰολέων φυλή, ἐξ αὐτῶν δὲ τέλος ἡ τῶν Δωριέων[1]). ἐκ τούτων ἡ τριὰς τοῦ λαοῦ τῆς καθαρῶς ἱστορικῆς Ἑλλάδος ἐγένετο.

§ 25. Μετὰ δὲ ταῦτα μέγα τῶν Γραικοϊταλῶν ἢ Πελασγῶν μέρος, ἤτοι εἰς πλῆθος ἐπιδιδόντων ἐν Μικρασίᾳ, ὡς εἴρηται, ἢ ὑφ' ἑτέρων προωθουμένων, ὑπερεπήδησε τὸ ἀσθενέστερον τῶν τριῶν προσκομμάτων, τὸν Ἑλλήσποντον. δι' αὐτοῦ δ', ὡς διὰ θύρας, τέλος εἰς Εὐρώπην εἰσῆλθεν. αὐτῶν τινες ἐνιδρυθέντες ἔνθ' ἀπέβησαν, ἰδίᾳ Θρᾷκες ἐκλήθησαν, οἱ δ' ἕτεροι ἐπὶ τὰ πρόσω χωροῦντες Μακεδονίαν τε καὶ Ἰλλυρίας τὰ μεσημβρινὰ κατῴκιζον, μέχρι τῶν παραλιῶν τοῦ Ἰονίου καὶ Ἀδριατικοῦ πελάγους ἐκταθέντες, ἀναχαιτισθέντες δ', ὡς εἰκός, αὖθις τῆς ἐπὶ τὰ πρόσω φορᾶς, ἔνθα ἕτερον φυσικὸν παρέτυχε πρόσκομμα[2]). πέραν τῶν βορείων τῶν Ἀκροκεραυνίων ὑπωρειῶν ἔοικε τὸν τῶν Πελασγῶν διαχωρισμὸν γεγονέναι, κατὰ τὰς δύο ἀνέκαθεν ἴσως ἐν αὐτοῖς μεγάλας φυλάς, εἰς Ἰταλοὺς καὶ εἰς Γραικούς· τούτων οἱ μὲν εἰς τὴν κατεναντίον Χερσόνησον διεπεραιώθησαν, τὴν ἀπ' αὐτῶν Ἰταλίαν κληθεῖσαν, οἱ δέ, ἤτοι ὑπ' Ἰλλυριῶν ἢ ἑτέρων προτέρων Κελτικῶν φύλων ἐξαναγκαζόμενοι, ἢ ταῖς ἐπαγωγοτέραις ἐν Ἠπείρῳ χώραις ἑλκόμενοι, ὑπερέβησαν τὰ Ἀκροκεραύνια καὶ πρὸς μεσημβρίαν χωρήσαντες ἐν Χαονίᾳ τὸ πρῶτον στερεῶς ἐνιδρύθησαν[3]).

§ 26. Μέχρι τοῦδ' ἐξετέθη ἐπιτροχάδην, ὅτι ἡ Πελασγικὴ τῶν Ἀριανῶν μοῖρα κατέσχε τὰς τρεῖς χερσονήσους, τὴν Μικρασιανήν, τὴν Ἑλληνικὴν καὶ τὴν Ἰταλικήν, τὴν μὲν ὡς Πελασγοὶ ἢ Γραικοϊταλοί, τὴν δ' Ἰταλικὴν ὡς Ἰταλοὶ ἢ Τυρρηνοὶ Πελασγοί, τὴν δ' Ἑλληνικὴν κατὰ μέγα μέρος ὡς Γραικοὶ Πελασγοί, κάτωθεν τῶν Ἀκροκεραυνίων, τοῦ Λάκμωνος καὶ τοῦ Ὀλύμπου· ἐῶντες δὲ νῦν τοὺς ἄλλους, προβαίνομεν ἐξερευνῶντες τὴν τῶν Γραικῶν Πελασγῶν πορείαν μέχρι Κρήτης, τοῦ μεσημβρινοῦ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος τέρματος.

§ 27. Τὴν πρὸς νότον τῶν Ἀκροκεραυνίων ἐνίδρυσιν τῆς ἑτέρας τῶν Πελασγικῶν μοιρῶν δυνάμεθα μετὰ μείζονος πιθανότητος ἱστορικὴν τοῦ Ἑλληνικοῦ ἔθνους ἀρχὴν θεωρεῖν. Ὅμηρος μὲν γάρ, ὁ ἀρχαιότερος μάρτυς, ταῖς τοῦ ἡγεμόνος τῶν πρῶτον κληθέντων Ἑλλήνων φράσεσι, τοῦ Φθιώτου Ἀχιλλέως, ‛Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικὲ κτέ'[4]) τὸ τῶν Πελασγῶν ἀρχαιότερόν τε καὶ σταθερώτερον ἐνδιαίτημα ὑποδηλοῖ· περὶ τὴν δυσχείμερον Δωδώνην οἰκεῖ κατὰ τὸν Ποιητὴν

1) Περὶ Αἰολέων καὶ Δωριέων κατωτέρω τὰ οἰκεῖα· περὶ δὲ Ἰώνων ὅρα E. Curtius gr. Gesch. I, 27—29, 37—40 καὶ 52—57.
2) Ὅρα καὶ Bernhardy's Grundriss der gr. Litt. I, 220.
3) Παράβαλε καὶ E. Curtius gr. Gesch. I, 84—85.
4) Ὅρα Ὁμ. Ἰλ. Π, 233.

λαὸς πρωϊμώτατα καθεσταμένος κοινωνικῶς, ἔχων μαντεῖον, ἱερεῖς, οὗ ὑπέρτατος ἄρχων Ζεύς ἐστιν· οὗτος ὁ λαὸς ὁ Πελασγικὸς ἦν. οἱ μεθ' Ὅμηρόν φασι τοῦτον πρὸς δυσμὰς Πίνδου ἀρχαιότατα οἰκεῖν περὶ τὴν πόλιν Δωδώνην[1]). κατὰ τόπον οὖν οὐκ ἔστιν οὕτως ἀβέβαιος ἡ τῆς Ἑλληνικῆς ἱστορίας ἀρχή, ὡς κατὰ χρόνον. πότε οἱ Πελασγοὶ ἐν Ἠπείρῳ ὡρισμένως κατεσκήνωσαν, ἀμήχανον λεχθῆναι, πολλῷ δ' ἀμηχανότερον πότε τὸν Ἑλλήσποντον ὑπερέβησαν πρὸς δυσμὰς χωρήσαντες. ἡ προϊστορία αὐτῶν ἐν τῷ ἀδήλῳ κεῖται χρόνῳ, κατὰ τὴν περὶ ἱστορικῆς χρονολογίας Βάρρωνος φράσιν[2]), τὸ δ' ἡμᾶς ἀποδέξασθαι ὅλως ὡρισμένως τὴν ἀρχὴν τῆς δευτέρας π. Χ. χιλιετηρίδος, πάντη ἐπισφαλές, ὡς ἐπὶ γενεαλογικῶν κειμένην ὑπολογισμῶν πεπορισμένων ἱστορικοῖς τε καὶ Ἀλεξανδρεινοῖς, τὸ μὲν λογιζομένοις οὕτως ἄνω τῆς πρώτης ἀναγεγραμμένης Ὀλυμπιάδος (776 π. Χ.), ἄνευ στερρῶν καὶ βεβαίων δεδομένων, οἷα ὑπὸ ποιητῶν βοηθουμένοις καὶ λογογράφων τῶν ἥκιστα πρὸς χρονογραφικὴν μαρτυρίαν καὶ βοήθειαν ἁρμοδίων, ἐκ τούτου δὲ διαφωνοῦσιν ἀλλήλοις, τὸ δ' ἢ ἐπὶ τῶν καταλόγων τῶν Σπαρτιατῶν βασιλέων καὶ τῶν ἐν Κορίνθῳ ἡγεμόνων ἢ ἐπὶ τῶν πινάκων τῶν Ὀλυμπιονικῶν καὶ τῶν Καρνεονικῶν ἀφιεμένοις μὴ ἀνερχομένων καὶ τούτων τῶν μὲν ἄνω τῶν 776, τῶν δ' ἄνω τῶν 676 π. Χ. ἐτῶν[3]).

1) Ὅρα Ἡρόδ. VII, 186, καὶ Διον. Ἁλικ. I, 18, παράβ. καὶ Ἡσύχ. ἀποσπ. 18.

2) Ὅρα Varro ap. Censorin. de Die Natali; Varronis Fragment. d. 219, ed. Scaliger, 1623. — 'Warro tria discrimina temporum esse tradit. Primum ab hominum principio usque ad cataclysmum priorem, quod propter ignorantiam vocatur *ἄδηλον*. Secundum, a cataclysmo priore ad Olympiadem primam, quod, quia in eo multa fabulosa referuntur *μυθικόν* nominatur. Tertium, a prima Olympiade ad nos, quod dicitur *ἱστορικόν*, quia res in eo gestas veris historiis continentur.' — *Τίς δ' οἶδε τίνι τῶν τεσσάρων γενεῶν τῶν Ἡσιόδου Ἔργων καὶ Ἡμερῶν ἡ προϊστορία τῶν Πελασγῶν ἀνάγεται; ὅρα αὐτόθι, στ. 120—173.*

3) *Τὰ Κάρνεια ἤγετο κατ' ἔτος, ἰδίᾳ ἐν Σπάρτῃ, πρὸς ἐξιλέωσιν Ἀπόλλωνος, Καρνείου ἐπονομασθέντος ἀπὸ Κάρνου τοῦ Ἀκαρνᾶνος μάντεως καὶ αὐτῷ προσφιλοῦς, τοῦ ἐπὶ προδοτικῇ ὑποψίᾳ ὑπὸ τῶν Ἡρακλειδῶν ἐν Ναυπάκτῳ φονευθέντος (ὅρα κατωτέρω, Ε΄. Δωριεῖς). ἤγετο δ' ἐν μηνὶ Καρνείῳ (= Μεταγειτνιῶνι, 13η Αὐγούστου) καὶ συνέπιπτε τοῖς Ὀλυμπίοις. Ἡρόδ. VII, 206, καὶ VIII, 72. Θουκ. V, 75. — Οἱ ἐν τοῖς τῶν Καρνείων δὲ πίναξιν ἀναγεγραμμένοι νικηταὶ οὐκ ἀνέρχονται ἄνω τῶν 676 π. Χ. ἐτῶν, μὴ οὔσης, ὡς ἔοικε, πρότερον ἐν χρήσει τῆς γραφῆς, καὶ δὴ ἐν Σπάρτῃ τῇ τοῖς νεωτερισμοῖς ἀνθισταμένῃ. Ἡρόδοτος δὲ ὁ καὶ τούτους εἰδὼς καὶ τοῖς τῶν βασιλέων τῆς Σπάρτης καὶ Κορίνθου καταλόγοις χρησάμενος, ἵνα πρὸς τὰ Τρωϊκὰ καὶ ἐπέκεινα ἀνέλθοι, πρὸς τὸν ἡρωϊκὸν αὐτῶν ἀρχηγέτην, ἠρίθμει κατὰ τὰς αὐτῶν γενεαλογίας, τουτέστιν ἐξ ὑποκειμένου, καίπερ ὁρῶν τὰς ἐν πᾶσι τούτοις διαφοράς (ὅρα Ἡρόδ. VI, 52)· μὴ οὔσης γὰρ ἐν χρήσει τῆς γραφῆς πρότερον, ἔταξαν κατ' ἰδίαν προαίρεσιν οἱ μετὰ ταῦτα βαλιλεῖς τῆς Σπάρτης τὰς ἰδίας γενεαλογίας. καὶ Μύλλερος δέ φησι* (K. O. Müller's Dorier, I, p. 146), *'οὐ διϊσχυρίζομαι, ὅτι οἱ χρονολογικοὶ ὁρισμοὶ τῶν Σπαρτιατικῶν καταλόγων πιστότρεοί εἰσι τῶν ὁρισμῶν τῶν ἐν τῷ καταλόγῳ τῶν Ἄργους ἱερειῶν ἢ τῶν ἐν τῷ πίνακι τῶν Ἁλικαρνασέων ἱερέων. τοὺς χρονολογικοὺς ὁρι-*

ἐπεὶ οὖν αἱ κρίσεις καὶ οἱ ἴδιοι καὶ ἐξ ὑποκειμένου ὑπολογισμοὶ καὶ δὴ ἐν τῷ χρονολογικῷ μέρει, ἔξω τῶν σαφῶν τῆς ἱστορίας νόμων κεῖνται, οὐχ οἷοί τέ ἐσμεν τὸ σπουδαιότατον τοῦτο τοῦ Ἑλληνικοῦ ἔθνους χρονικὸν ὁρίσαι σημεῖον, πολλῷ δὲ μεῖον τὰ πρὸ αὐτοῦ, διὸ καὶ πᾶσαν μὲν τήνδε τὴν πραγματείαν ἀπόπειράν τινα ἱστορικὴν εἶναί φαμεν, καὶ δὴ τὰ μέχρι Τρωϊκῶν. τὰ Τρωϊκὰ ὅμως ταῦτα δοκεῖ τὸ ἐξώτατον εἶναι σημεῖον, αἱ τοῦ ἡλίου τοῦ ἐν τῷ Πελασγικῷ ὁρίζοντι δυσμαί· ἐπ' αὐτῶν γὰρ ἐν τέσσαρσι τῆς περὶ τὸ Αἰγαῖον χώρας μέρεσι σώζονται λαοὶ Πελασγικοὶ ἔτι καλούμενοι, λείψανα μηνύοντά γε τὴν ἄλλοτε κοινὴν ταύτην ἐν τοῖς περὶ αὐτὸ οἰκοῦσι λαοῖς κλῆσιν, ἐν τῇ Τρωϊκῇ Λαρίσσῃ, ἐν τῇ Θεσσαλικῇ ἢ τῷ Πελασγικῷ Ἄργει, ἐν Δωδώνῃ καὶ ἐν Κρήτῃ[1]), διὸ καὶ ὁ Ποιητὴς κοσμεῖ αὐτοὺς τῷ ἐπιθέτῳ 'δῖοι', ὅπερ ἀρχαιοπρεπές τι καὶ σεβαστὸν ἔχει[2]). τίς δὲ δύναται τὴν χρονικὴν ὁρίσαι διάρκειαν, ἐν ᾗ οὕτως εὐρὺ ὄνομα λήθῃ περιέπεσεν, ἀνάμνησις δέ τις αὐτοῦ μικρά, ὡς ἐν σκοτεινῷ τε καὶ ἀχανεῖ οὐρανῷ ἀμυδροί τινες ὁρῶνται ἀστέρες, ἐπὶ τῶν Τρωϊκῶν ἔτι διασώζεται!

§ 28. *Οὕτως οὖν κατὰ τόπον γε ἱστορικὴ τοῦ Ἑλληνικοῦ ἔθνους κοιτὶς ἡ Ἤπειρος δοκεῖ εἶναι, καὶ δὴ εἰδικώτερον ἡ Θεσπρωτία.* ἐν αὐτῇ ἔκειτο ἡ πόλις Δωδώνη[3]), παρ' ᾗ ἐν δάσει τινὶ τὸ τοῦ Πελασγικοῦ Διὸς μαντεῖον ἦν[4]), ἕδρα τῆς ἐξεχούσης ἐν τοῖς Γραικοῖς Πελασγοῖς φυλῆς τῆς τῶν Σελλῶν[5]), ὑπὸ τῷ ὄρει Τομάρῳ ἢ Τμάρῳ ἱδρυμένη[6]) καὶ παρὰ

σμοὺς τοὺς ἐν τοῖς Σπαρτιατικοῖς καταλόγους οἷόν τέ ἐστιν ἐξ ἐλλιπῶν ἀναμνήσεων πεποιῆσθαι, ἀλλ' ὅμως δοκεῖ τοὺς Ἀλεξανδρεινοὺς χρονολόγους τοιούτοις πίναξιν ἐντυχεῖν κτἑ.'

1) Ὅρα Ὁμ. Ἰλ. Β, 480. Κ, 429. Π, 233. Ὀδύσσ. Τ, 177. — Πλὴν δὲ τοῦ καθ' Ὅμηρον Πελασγικοῦ ἐν Δωδώνῃ Διὸς ἦν καὶ ἐν Θεσπρωτίᾳ πόλις Λάρισσα, καθ' ἅ φησιν ὁ σχολιαστὴς Ἀριστοφάνους (ἐν Ὄρνισι 465. παράβ. καὶ Εἰρ. 891). ἡ Λαρίνη καὶ Λάρινα ὑπ' Ἀθηναίου καλουμένη, ὅρα VIII, 376. παράβ. καὶ Στέφ. Βυζ. ἐν λ. Λάρινον, Λάρινα καὶ Λάρυμνα). αὕτη δ' ἡ Λάρισσα ἀρχαιοτέρα γε τῶν ἄλλων ἦν, τῶν ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι, οἷά περ ἐν Ἠπείρῳ τῷ πρώτῳ τῶν Πελασγῶν ἐνδιαιτήματι κειμένη. 2) Ὅρα περὶ τούτου Gladstone's hom. Stud. p. 5.

3) Κατὰ Σοφοκλῆ (Τραχ. 172) καὶ Δωδών, κατά Στράβωνα (VIII, 364) Δωδώ. ὅρα καὶ Στέφ. Βυζ. ἐν λέξει.

4) Ὅρα περὶ τοῦ Δωδωναίου μαντείου Ἡρόδ. II, 54—57, καὶ Welcker's gr. Götterl. I, 199 κτἑ.

5) Κατ' ἄλλους καλοῦνται Ἑλλοί. ὅρα Jacobs Φιλοστράτου εἰκόνας, σ. 568. — περὶ τῆς Ἑλλῶν χώρας καὶ τῆς Δωδώνης θέσεως ὅρα Pouqueville, Voyage dans la Grèce, I. ch. XXVII, 339. Leacke, Travels in northen Greece. J. Arneth, Ueber das Taubenorakel von Dodona, Wien, 1740. Οὗτοι ἐν συνόψει χώραν μὲν Ἑλλῶν συμφώνως φασὶν εἶναι τὴν καθ' ἡμᾶς Ἰωαννίνων κοιλάδα, Δωδώνην δὲ κεῖσθαι πρὸς νότον τῆς λίμνης, ἔνθα ἡ νῦν κώμη Καστρίτζα· περὶ δὲ τῆς τοῦ μαντείου θέσεως διαφωνοῦσι μέν, ἀλλὰ περιορίζουσιν αὐτὴν ἐν τῷ μεταξὺ τῆς λίμνης καὶ Καστρίτζης χώρῳ. παράβαλε καὶ E. Curtius gr. Gesch. I, 85.

6) Ὅρα Στράβ. VII, 327 καὶ 328. Στέφ. Βυζ. ἐν λ. Θεόπομπον π. Πλινίῳ, IV, 1, 1. Virg., eccl. VIII, 44.

τῷ Δώδωνι ποταμῷ, βραχίονί τινι, ὡς ἔοικε, τοῦ ἀπὸ τῶν Σελλῶν κληθέντος Σελλήεντος ἢ Ἀχέροντος τοῦ κατεναντίον Κερκύρας ἐκβάλλοντος, διὸ καὶ ἡ περὶ αὐτὴν τῶν Σελλῶν ἤ Ἑλλῶν χώρα, ἡ Ἡσιόδου Ἑλλοπία, πολυλήϊός ἐστι καὶ εὐλείμων, ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσι[1]), τεκμήριον τῆς περὶ τὸν ποιμενικὸν βίον καὶ τὴν γεωργίαν προσφιλοῦς τοῖς Πελασγοῖς ἀνέκαθεν κλίσεως καὶ ἀσχολίας. καὶ ἡ μὲν Δωδώνη ἤκμαζε καὶ ἐν τοῖς χρόνοις τοῖς ἱστορικοῖς σὺν τῷ μαντείῳ τὰ δεύτερα τοῦ ἐν Δελφοῖς φερομένῳ, τὸ δὲ τῶν Σελλῶν ἢ Ἑλλῶν ὄνομα ἐξέλιπεν, ὡς ἔοικεν, ἐκ τῆς πρώτης αὐτοῦ κοιτίδος[2]), ἐκταθέν, ὡς λεχθήσεται, ἐφ' ἅπαν τὸ Ἑλληνικόν[3]).

§ 29. Ἐν Ἠπείρῳ ἐνιδρύθη στερρῶς, καθ' ἅπερ εἴδομεν, ἐπὶ χρόνον ὁ πρώην ἀλήτης Πελασγικὸς λαός· ἐν δὲ Θεσπρωτίᾳ, τῇ πρώτῃ θεόν, εὕτω φάναι, καὶ κοινωνίαν ἰδούσῃ, συνεσπειράθη εἰς ταὐτὸ συνελθοῦσα ἡ ἐξέχουσα ἐν τοῖς Γραικοῖς Πελασγοῖς μερίς, οἱ Σελλοὶ ἢ Ἑλλοί[4]), διὸ καὶ ἐπετράπη αὐτοῖς ἡ τοῦ μαντείου τοῦ θεοῦ αὐτῶν Διὸς ἐφορεία[5]). ὅτι δ' οἱ ἕτεροι τῶν Πελασγῶν, οἱ τῶν Ἰταλῶν ἢ Τυρρηνῶν ἀποχωρισάμενοι καὶ ἐν Ἠπείρῳ τὸ πρῶτον σταθερῶς οἰκήσαντες, ἀνέκαθεν Γραικοὶ ἐκαλοῦντο, πάνυ τοι πιθανόν· ἄλλως ἄπορον ἂν εἴη, τίνι ἀφορμῇ κινηθέντες οἱ Ἰταλικοὶ λαοὶ ἀνέκαθεν τοὺς Ἕληνας Γραικοὺς ἐκάλεσαν, τὴν δ' Ἑλλάδα Γραικίαν, εἰ μὴ παραδεξαίμεθα, ὅτι τούτῳ τῷ ὀνόματι τοὺς ἐν τῇ ἑτέρᾳ τῶν Πελασγικῶν μοιρῶν ὁμογενεῖς, αὐτῶν ἀποχωριζόμενοι γιγνώσκοιεν[6]). Ἀριστοτέλης δὲ λέγων, ὅτι τὸ ἀρχαιότατα κληθὲν μέρος Ἑλλὰς ἡ περὶ Δωδώνην ἦν χώρα,

1) Ὅρα Ἡσιόδου Ἠοίας, 149, καὶ σχολ. Σοφοκλ. Τραχ. 1174, καὶ Στράβ. ἔνθ' ἀνωτέρω.

2) Τὸ παρὰ Θουκυδίδῃ (III, 95 καὶ V, 30) Σόλλιον λείψανόν τι τοῦ τῶν Σελλῶν ἢ Ἑλλῶν ὀνόματος ἂν εἴη, εἰ μὴ πρὸς τὰ βόρεια Ἀκαρνανίας ἔκειτο. τὰ περίπυστα ὅμως ἐν τῇ νεωτέρᾳ τῆς Ἑλλάδος ἱστορίᾳ ὄρη τοῦ Σουλλίου κεῖται ἐγγὺς τοῖς τῆς Θεσπωτίας Σελλοῖς· ἀμφότερα δέ, τό τε Σόλλιον καὶ τὸ Σούλλιον, παραπλήσιά ἐστι τῷ, Σελλοί.

3) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 15. — Τὸ Δωδωναῖον ἱερὸν πλουτοῦν ἀφιερωμάτων, διηρπάγη ὑπὸ τοῦ τῶν Αἰτωλῶν στρατηγοῦ Δοριμάχου (ἐν Ὀλυμπιάδι 140, 2). ὅρα Πολύβ. IV, 67. Διόδ· XXVI, fr. 10, ed. Bekker.

4) Ὅρα Bernhardy's Grundr. d. gr. Litt. I, 224—225 καὶ 230.

5) Gladstone's hom. Stud. p. 67. — Ἡ Δωδώνη καὶ ἡ περὶ αὐτὴν Ἑλλοπία ὑπὸ μὲν Ὁμήρου καὶ τῶν Τραγικῶν ἐν Θεσπρωτίᾳ τάττεται, ὑπὸ δὲ τῶν ὕστερον ἐν Μολοσσίᾳ, περιληφθεῖσα ἴσως ἐν αὐτῇ ὑπὸ τῶν ἐν Πασσαρῶνι ἤδη ἰσχυρῶν Αἰακιδῶν· Στέφανος δ' ὁ Βυζάντιος (ἐν λ. Χαονία) φησὶν αὐτὰς Χαονικὰς εἶναι, ὥς γε συμπεριληφθείσας ἐν Χαονίᾳ ἐπὶ τῆς Ῥωμαίων κυριαρχίας. Ἑκαταῖος δέ φησι (παρὰ Στέφ. Βυζ. ἐν λ. Δωδώνη), 'Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι Δωδωναῖοι.' τούτοις δὲ δῆλον γίγνεται, ὅτι πρὸ Ἡροδότου ἔτι ἡ χώρα ἡ Δωδωναία ἢ ἡ Ἑλλοπία ἢ ἴδιον μέρος ἦν, ἤ τοι τὴν βορειοανατολικὴν τῆς Θεσπρωτίας ἐπεῖχε μοῖραν.

6) Ὅρα Bernhardy ἔνθ' ἀνωτέρω· παράβαλε καὶ E. Curtius gr. Gesch. I, 85.

προστίθησιν[1]), ὅτι ἐπὶ τοῦ κατακλυσμοῦ τοῦ ἐπὶ Δευκαλίωνος ὑπὸ τῶν Γραικῶν τῶν ὕστερον Ἑλλήνων μετονομασθέντων ᾠκεῖτο. Στέφανος δ' ὁ Βυζάντιός φησι, ʻΓραῖκες δὲ παρ' Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων γυναῖκες καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν'[2]). οὐ μόνον δ' οἱ Πελασγοὶ οὗτοι, ἀλλὰ καὶ ἅπας ὁ ἐξ οὗ τὴν ἀρχὴν εἶχον τοῦ γένους Ἀριανὸς κορμὸς εἶχε γλῶσσαν καὶ θρησκείαν, ὡς τοῦ μὲν τῷ ἀνθρώπῳ συμφύτου, τοῦ δὲ πρὸς κοινωνικὴν σύστασιν ἀναγκαίου ὄντος. ὅτι δὲ καθεσταμένας ἤδη κοινωνίας δεῖ ἡμᾶς νοεῖν καὶ ἅπαντας μὲν τοὺς τῶν Ἀριανῶν κλάδους, ἰδίᾳ δὲ τὸν Γραικοϊταλικὸν ἢ Πελασγικόν, δῆλον τῇ τε φιλοσοφικῇ ἀρχῇ, καθ' ἣν τῆς ὁμοίοις προσπελάσεως αἰτία ἡ ἀνάγκη τῆς τῶν φυσικῶν ὁρμῶν πληρώσεως, πνευματικῶν τε καὶ σωματικῶν ἐστιν, ἡ δὲ πρὸς μεταναστάσεις ῥοπὴ ἔνδειξις μείζων ἐστὶν ὁρμῆς πρὸς πλήρωσιν εὐρυτέρων κοινωνικῶν ἀναγκῶν, καὶ τοῖς ἐπιστημονικοῖς περὶ τὰς Ἀριανὰς γλώσσας λόγοις, οἷς δείκνυται, ὅτι οἱ λαοὶ ἐκεῖνοι γλώσσας μὲν ἴεσαν τοιαύτην σχέσιν ἀλλήλαις τὸ κατ' ἀρχὰς ἐχούσας, οἵαν ἐπὶ παραδείγματος αἱ τῆς Ἑλληνικῆς διάλεκτοι, θρεισκείαν δ' εἶχον, οἵα ὁρᾶται ἐν τῇ τῶν στοιχείων καὶ τῶν πρωτογενῶν μύθων τῶν Γερμανῶν, τῶν Ἑλλήνων καὶ τῶν Λατίνων ὁμοιότητι.

§ 30. Κατὰ ταῦτα ἡ μὲν γλῶσσα τῶν ἐν Ἠπείρῳ Γραικῶν Πελασγῶν ἦν γε ἡ πρωτότυπος καὶ ἀρχέγονος ἐκείνη, ἥν περ ἐφθέγγοντο οἵ τ' ἐν Μικρασίᾳ ἀπολειφθέντες ὁμογενεῖς αὐτῶν, ὧν ὀψὲ οἱ Ἴωνες ἐξεγένοντο, καὶ οἱ εἰς Ἰταλίαν διαπεραιωθέντες, εἰ ἔργῳ ἡ νεωτέρα περὶ τὰς Ἰνδοευρωπαϊκὰς γλώσσας ἐπιστήμη ἐν τοῖς πρώτοις στοιχείοις οὐ μόνον τῶν δύο κλασσικῶν γλωσσῶν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν, ἀπὸ τῆς Κελτικῆς ἄχρι τῆς Σανσκριτικῆς, συγγένειαν ἀνεῦρεν. εἰ δ' Ἡρόδοτος καίπερ τῶν καθ' ἡμᾶς ἐγγύτερος τοῖς ἀρχαίοις ἐκείνοις ἔθνεσιν, οὐχ οἷός τ' ἦν διϊδεῖν συγγένειάν τινα ἐν τῇ ὑπὸ τῶν Ἑλλήνεν φθεγγομένῃ γλώσσῃ καὶ τῇ ὑπὸ τῶν Πελασγῶν τῆς τοῦ Ἄθω χερσονήσου, τῆς ἐν Θράκῃ Κρηστῶνος, τῆς Σκυλάκης καὶ τῆς Πλακίης τῆς Μικρασίας, διὸ καὶ βαρβάρους αὐτοὺς ἀποκαλεῖ[3]), τῶν νεωτέρων διορώτων καὶ ἀνευρισκόντων γλωσσικήν τε καὶ κοινωνικὴν συγγένειαν οὐ μόνον ἐν δυσὶν ἀλλήλοις γειτνιάζουσι λαοῖς, ἀλλὰ καὶ ἐν πολλοῖς μακρὰν πολλῷ ἀλλήλων διέχουσιν, ὡς Γερμανοῖς καὶ Πέρσαις, Κελτοῖς καὶ Ἰνδοῖς, αἴτιόν ἐστι τὸ μὴ αὐτὸν καθ' ἓν ἕκαστον διεισδῦναι, καθ' ἅ φησι Θίρβαλλος[4]), εἰς τὴν τῆς γλώσσης ἐκείνων ἔρευναν, ἥ περ φυσικῷ λόγῳ ἐξ Ἰταλικῶν, Γραικικῶν καὶ Μικρασιανῶν συνέκειτο λειψάνων, τῆς μὲν

1) Ἐν Μετεωρολογικοῖς I, 14. Ὅρα καὶ Στράβ. VII, 327 καὶ 328. Clinton Fasti Hellenici, I, 20. Schöm. gr. Alterth. I, 5. Preller's Mythol. I, 79 κτέ. Nägelsbach, Nach. Theol. IV, 15.

2) Ὅρα λέξιν Γραικός. 3) Ὅρα Ἡρόδ. I, 57 καὶ 58.

4) Thirlwall Hist. of Greece, II, 60, 2 ἔκδοσις.

Ἑλληνικῆς ἐν τῇ τοῦ χρόνου παρόδῳ τοσαύτας καὶ τηλικαύτας ἀλλοιώσεις ὑποστάσης, ὅσαι περ καὶ ἡλίκαι νοοῦνται, ἄχρις οὗ διεκρίθη κατὰ τὰς τρεῖς ἐν τοῖς ἱστορικοῖς χρόνοις φυλὰς εἰς τὴν Αἰολικήν, τὴν Δωρικὴν καὶ τὴν Ἰωνικὴν διάλεκτον, γενομένη αὐθυπόστατος καὶ τοιαύτη, ὥστε πάντας τοὺς ἄλλους λαοὺς τοὺς μὴ αὐτὴν φθεγγομένους βαρβάρους καλεῖσθαι, τῆς δὲ τῶν Πελασγῶν τούτων διατηρησάσης ἐξ ἰδίων περιστάσεων τὸν ἀρχέγονον ἐκεῖνον ἐν τῇ βορείῳ τῆς Ἑλληνικῆς γῆς ἄκρᾳ τύπον, ὥς περ ἐγένετο καὶ ἐπὶ τῇ τοῦ ὀνόματος αὐτῶν διασώσει. νεώτερα δ' ἄλλα παραδείγματα ἐνδηλότερον τοῦτο ποιεῖ· καὶ γὰρ ἔκ τε τοῦ περιασθέντος ὑφ' Ὁμήρου Ἀχαϊκοῦ κόσμου καὶ ἐκ τοῦ Αἰολικοῦ μόλις ἔν τινι τῆς Πελοποννήσου γωνίᾳ περιεγένετο τὸ Ἀχαϊκὸν ὄνομα καὶ τοῦτο ἄνευ ἰδίας διαλέκτου, τέχνης καὶ φιλοσοφίας, καὶ ἐν μοίρᾳ τινὶ μικρᾷ τῆς Μικρασίας τὸ Αἰολικόν. οὕτως οὖν πάντα τὰ τοῖς Πελασγοῖς ἀναφερόμενα, ἐν βάθει τοσούτου χρόνου κείμενα, ἀδιάγνωστα ἐφ' Ἡροδότου ἐστίν.

§ 31. Ἡδὲ θρησκεία τῶν Γραικῶν Πελασγῶν ἦν ἐκείνη, ἣν σύμπας ὁ κλάδος αὐτῶν εἶχε χωρῶν ἀπὸ τοῦ τῆς Ἀσίας μέσου πρὸς δυσμάς· ἦν φυσιολατρεία, οὕτω φάναι, σεβασμός τῶν τῆς φύσεως δυνάμεων, ἅς περ οἱ ἀπόγονοι αὐτῶν Ἕλληνες ἐπροσωποποίουν, δοξάζοντες αὐτὴν ταύταις κινεῖσθαι καὶ δρᾶν, ὅ καὶ δεύτερος τῆς θρησκείας καὶ θεολογίας τῆς Ἑλλάδος βαθμός ἐστι καὶ τῆς πλαστικῆς τέχνης ἀρχή. ὁ Πελασγικὸς λαὸς καὶ ἐν τῇ Φρυγικῇ Ἴδῃ, καὶ ἐν τῇ δυσχειμέρῳ Δωδώνῃ, καὶ ἐν τῷ Ὀλύμπῳ, καὶ ἐν τῷ Λυκαίῳ, καὶ ἐν τῇ Κρητικῇ Ἴδῃ ἐλάτρευεν ἐπὶ ὑψωμάτων, οἷα ἐπὶ βωμῶν φύσει πεπλασμένων, τὸ ὕψιστον ὄν, τὸν Δία, ὡς ἐποίει καὶ ἐν τῇ ἀρχεγόνῳ αὐτοῦ πατρίδι ἐπὶ τῶν τῆς μέσης Ἀσίας ὑψωμάτων, δοξάζων ἄνω τῶν αἰωνίως χιονοβλήτων κορυφῶν τῶν ὑψίστων τῆς ὑδρογείου σφαίρας ὀρέων οἰκεῖν τὸ ὕψιστον τῶν ὄντων, Δία τὸν πατέρα[1]), τόν τοῦ παντὸς παραγωγέα, τὸν ὑφ' ἑαυτὸν τὸ πᾶν ἔχοντα. συμφώνως τῷ κοινῷ τούτῳ τῆς θεότητος χαρακτηρισμῷ διετέλεσε καὶ ὁ Ἀρκαδικὸς Ζεὺς ἐν πλησμονῇ ἱεροῦ φωτός, ἄμορφος, ἀπροσπέλαστος ἐπὶ τῶν κορυφῶν τῶν τοῦ Λυκαίου δρυῶν[2]).

§ 32. Ἐν Ἠπείρῳ δ' οἰκειωθέντες οἱ Γραικοὶ Πελασγοὶ τῇ τε τοῦ ἐδάφους φύσει τῆς νέας πατρίδος καὶ τῷ αὐτῆς οὐρανῷ, ἐπράπησαν ἐπὶ τὴν θήραν, τὸν ποιμενικὸν βίον καὶ

1) Ἡ Σανσκριτική λέξις himaalajas, ἐκ τοῦ him (= χειμὼν Ἑλ., hiems Λατ.), ἐξ ἧς τὰ Θιβετίας ὄρη Ἱμαλάϊα καλοῦνται, σημαίνει ἕδραν, οἴκησιν χιόνος, χειμῶνα, συνεκδοχικῶς δ' ὕψος μέγα, οὐρανὸν (= Himmel γερμ.). τὸ δ' ἄνω τοῦ ὕψους τούτου, ἐν τῷ οὐρανῷ ἐνοικοῦν ὕψιστον ὄν, ἢ αὐτὸς οὗτος ὁ οὐρανὸς Djaus pitar Σανσκριτιστὶ καλεῖται, Ζεὺς πατὴρ Ἑλληνιστί, Iupiter Λατινιστί. ἐν τῇ κατὰ τὸν συνδυασμὸν καὶ τὴν παραβολὴν τῶν λέξεων τούτων τῆς Σανσκριτικῆς, τῆς Ἑλληνικῆς καὶ τῆς Λατινικῆς ὁμοιότητι δείκνυται ἥ τε ὁμοιότης καὶ ἡ ἀρχὴ τῆς παναρχαίας τοῦ Διὸς λατρείας. 2) Ὅρα E. Curtius gr. Gesch. I, 43.

δὴ τὴν γεωργίαν[1])· εἰς πλῆθος δ' ἐπιδόντες καὶ ἐφελκόμενοι τῷ ἐπαγωγῷ τῆς γείτονος Θεσσαλίας ἐδάφει καὶ ταῖς ὑπ' Ἀχελώου διαρρεομέναις ἐφόροις Ἀκαρνανίας καὶ Αἰτωλίας χώραις, ἐπορεύθησαν πρὸς ἀνατολὰς τὸν Πίνδον ὑπερβάντες καὶ πρὸς νότον τῷ τοῦ Ἀχελώου ἀκολουθοῦντες ῥεύματι, ὁπόθεν τοὺς προτέρους τῶν χωρῶν κατόχους ἐξέωσαν, τοὺς αὐτόχθονας ἢ γηγενεῖς, ἢ αὐτοῖς συνεμίγησαν. ἡ πρὸς ἀνατολὰς ὅμως τοῦ Πίνδου χώρα δοκεῖ ἐν τοῖς Γραικοῖς Πελασγοῖς ἔριδος μῆλον[2]) γεγονέναι, καὶ δὴ τὴν ἀρχὴν τὸ βόρειον μέρος, ἔνθα περὶ τὸν Εὐρώταν ἢ Τιταρήσιον ποταμὸν Αἰνιᾶνες (ἢ Ἐνιᾶνες) καὶ Περραιβοὶ Πελασγοὶ ἐνιδρυθέντες πόλιν Δωδώνην ἔκτισαν, ὁμώνυμον τῇ πρὸς δυσμὰς τοῦ Πίνδου μητροπόλει, ἣν ὁ Ποιητὴς ὡσαύτως δυσχείμερον καλεῖ, οἷα ὑπὸ ταῖς Ὀλύμπου ὑπωρείαις κειμένην[3])· οἱ γὰρ Πελασγοὶ πρὸς μεσημβρίαν ἐκτεινόμενοι χώρας πεδινὰς κατελάμβανον, οἷα γεωργοὶ καὶ ποιμενικοὶ ὄντες[4]), ᾠκοδόμουν δὲ πόλεις, καλοῦντες αὐτὰς τοῖς ὀνόμασι τῶν προτέρων ἐνδιαιτημάτων, οἷον Δωδώνας, Ἄργη καὶ Λαρίσσας[5]), καὶ εἰσῆγον τὴν τοῦ Δωδωναίου Διὸς λατρείαν[6]), ἔνθα περ καθίσταντο, ὡς ἐν Ὀλύμπῳ, ἐν Λυκαίῳ, ἐν τῇ Κρητικῇ Ἴδῃ καὶ ἀλλαχόθι. εἰς πλῆθος δ' αὖθις ἐν τῷ Πελασγικῷ Ἄργει ἐπιδιδόντες ἢ ἑτέροις ἐξ Ἠπείρου ἐπερχομένοις ἐξαναγκαζόμενοι, κατήρχοντο πρὸς μεσεμβρίαν καὶ κατελάμβανον τὰ πεδινὰ ἐν σειρᾷ ἐν-

1) Ἡσίοδος (ἐν Ἠοίαις, στ. 149) φησὶ περὶ Ἑλλοπίας,
'ἔστι τις Ἑλλοπίη, πολυλήϊος καὶ εὐλείμων,
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν.
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
πολλοί, ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων κτέ'.

2) Καὶ ἐπί τῶν Τρωϊκῶν ἔτι τὰ ἀπ' Ὀλύμπου μέχρις Ὄθρυος καὶ Οἴτης οἰκοῦντα φῦλα Πελασγικά ἐστι, τὸ γὰρ Πελασγικὸν τοῦ Ποιητοῦ Ἄργος ἡ ὕστερον Θεσσαλία ἐστίν. ὅρα Ἰλ. β, 681—760.

3) Ὅρα Ὁμ. Ἰλ. β, 750.

4) Ὅρα Ἄσιον π. Παυσ. Ἀρκαδ. 1, καὶ Βάτωνα π. Ἀθηναίῳ, XIV, 639.

5) Ἐπὶ τῶν Τρωϊκῶν ἡ Πελοπόννησος Ἄργος Ἀχαϊκὸν καλεῖται, ὡς ἐπικρατούσης ἤδη ἐν αὐτῇ τῆς ἀριστοκρατικῆς τῶν Ἀχαιῶν τάξεως (περὶ τούτου ὅρα κατωτέρω, Δ'. Ἀχαιοί), ἀλλὰ καὶ Ἴασον, ὅπερ αὖθις Πελασγικὸν ὄνομα (ὅρα κατωτέρω, αὐτόθι).—Λάρισσα δ' ἐστὶν ἡ ὀνομαστοτέρα τῶν ἐν Θεσσαλίᾳ Πελασγῶν πόλις, Λάρισσα καλεῖται καὶ ἡ τῶν Φθιωτῶν Κρεμαστὴ ἢ Πελασγία καὶ ἡ τοῦ Ἄργους ἐν Πελλοποννήσῳ ἀκρόπολις, Λάρισσα καὶ ἡ ὕστερον Γόρτυν κληθεῖσα τῶν ἐν Κρήτῃ Πελασγῶν μετὰ τοῦ Λαρισσίου πεδίου. ὅρα Στέφ. Βυζ. ἐν λ. Γόρτυν, καὶ Στράβ. IX, 672. περὶ δὲ Λαρίσσης τῆς ἐν Ἠπείρῳ, τῷ παλαιτέρῳ τῶν Πελασγῶν ἐνδιαιτήματι, ὅρα ἔμπροσθεν, ἐν ὑποσημειώσει 1, § 27.

6) Ζήτημα ὅμως ἐστὶν, εἰ οἱ Πελασγοὶ ἵδρυσαν καὶ ἐν τῇ Περραιβικῇ Δωδώνῃ μαντεῖον, οὐδαμοῦ γὰρ τοῦτο παρ' Ὁμήρῳ σαφῶς δείκνυται, Ὀδυσσεὺς δὲ παρὰ τὴν Ἤπειρον ναυαγήσας ἐπορεύθη εἰς τὸ ἐγγύς γε Δωδωναῖον μαντεῖον, τὸ ἐν Θεσπρωτίᾳ, μαντευσόμενος (ὅρα Ὁμ. Ὀδυσ. τ, 296), εἰ καὶ Στράβων φησί, 'τῆς δὲ Σκοτούσης ἐμνήσθημεν καὶ ἐν τοῖς περὶ Δωδώνης λόγοις καὶ τοῦ μαντείου τοῦ ἐν Θεσσαλίᾳ, περὶ γὰρ τοῦτον ὑπῆρξε τὸν τόπον.' ὅρα VII, 329, καὶ IX, 441. παράβαλε καὶ Gladstone's hom. Stud. p. 41 καὶ 42. καὶ Welcker griech. Götterlehre, 199, 4.

δελεχεῖ ἀπ' Ὀλύμπου ἀρχομένη καὶ ἐν τῇ εὐφόρῳ τῆς ἐν Κρήτῃ Γόρτυνος πεδιάδι ἀποληγούσῃ, ποιούμενοι, οὕτω φάναι, γεωργικοὺς σταθμοὺς τοῖς παρεμπίπτουσι καὶ διϊκνουμένοις ὄρεσι μόνον ἀλλήλοις ἀποχωριζομένους. ἡ Πελασγικὴ αὕτη ἅλυσις ἀπὸ Δωδώνης καθήκουσα, ἐκ τῶν μειζόνων καὶ εὐφορωτέρων τῆς Εὐρωπαϊκῆς Ἑλλάδος πεδιάδων συνέκειτο, οἷαί πέρ εἰσιν ἡ πρὸς βορρᾶν καὶ πρὸς νότον τῆς Ὄθρυος, ἡ τῆς Βοιωτίας, τῆς Ἐλευσῖνος ἐν Ἀττικῇ, τῆς Ἀργολίδος (τὸ Ἴασον Ἄργος), ἡ τοῦ Ἀρκαδικοῦ ὀροπεδίου, ἡ τοῦ Εὐρώτα (τῆς τῶν λελέγων Πελασγῶν χώρας[1])) καὶ τέλος[2]) τὰ πεδινὰ τῆς Κρήτης, καὶ δὴ ἡ εὐρεῖα τῆς Γόρτυνος πεδιάς, ἡ τὰ δεύτερα μετὰ τὴν ἐν Θεσσαλίᾳ φερομένη[3]). ἐν τοῖς ἡμέροις τούτοις Πελασγικοῖς ἐνδιαιτήμασιν ὁρῶμεν τὰ πρῶτα πρὸς κοινωνίαν αἰτούμενα ὅμοια τυγχάνοντα, οἷά πέρ ἐστιν ἡ θρησκευτικὴ λατρεία, ἡ γεωργία, ὁ ἀρχαϊκὸς τῆς τῶν πόλεων καὶ φρουρίων οἰκοδομῆς ῥυθμὸς καὶ τῶν ἄλλων τῶν ἐν βίῳ οἰκοδομημάτων καὶ τὰ ὀνόματα αὐτῶν, ἅπερ ταὐτότητα γένους δείκνυσιν[4]).

§ 33. Ἐν τοῖς εὐφόροις τῆς Θεσσαλίας πεδίοις οἱ Πελασγοὶ καταστάντες κοινωνικώτεροι ἐγένοντο καὶ εἰς πνευματικώτερον προήχθησαν βίον· τῇ γὰρ ἐν τῇ γεωργίᾳ ἐπιδόσει καὶ προόδῳ εὐρύνθη καὶ ὁ κύκλος τοῦ ἐν αὐτοῖς θεολογικοῦ συστήματος, ἐπαυξηθείσης τῆς τῶν φυσικῶν δυνάμεων λατρείας καὶ δὴ τῶν χθονίων θεοτήτων σὺν ταῖς μυστηριώδεσιν αὐτῶν ἐννοίαις. ἐν τῇ σιτοφόρῳ ταύτῃ χώρᾳ λατρεύουσι νῦν καὶ ἑτέρᾳ θεότητι, τῇ Δήμητρι, χαρακτῆρα γεωργικὸν πάντη ἐχούσῃ καὶ τὴν φυτικὴν τῆς γῆς δύναμιν ἐκπροσωπούσῃ· ποιοῦσι δ' αὐτὴν ἀδελφὴν τῷ Διΐ[5]). τὴν πόλιν

1) Ὅρα Παυς. III, 1. Ἀπολλόδ. III, 10, 19.

2) Ἀνωτέρω εἴρηται, ὅτι Γραικοὶ Πελασγοὶ τὸ τοῦ Ἀχελώου ῥεῦμα παραπορευόμενοι καὶ πρὸς νότον τῆς Ἠπείρου, ἐν Αἰτωλίᾳ καὶ Ἀκαρνανίᾳ, κατασκηνώσειαν. Ἀριστοτέλης δὲ δοκεῖ φρονεῖν (ὅρα Μετεωρολ. I, 14.) ἐπὶ τοῦ κατακλυσμοῦ τοῦ ἐπὶ Δευκαλίωνος, κατ' αὐτὸν ἐν Ἠπείρῳ γενομένου, ἢ γοῦν ἐν αὐτῇ σφοδρότερον ἐπιρραγέντος, ἐξαναγκασθῆναι τὸν υἱὸν ἐκείνου Ἕλληνα πρὸς μεσημβρίαν ἐκχωρῆσαι καὶ μεταναστῆναι. Διονύσιος δ' ὁ Ἁλικαρνασεὺς φησι (ἐν Ἀρχαιολ. Ῥωμ. I, 17.) Ἕλληνα μεθ' ὁμίλου Κουρήτων καὶ Λελέγων, οὓς καὶ Ἀριστοτέλης ἀρχαίους τῆς Παραχελωΐτιδος χώρας κατόχους λέγει εἶναι (ὅρα Στράβ. VII, 7, 321), εἰς Θεσσαλίαν ἐμβαλεῖν. καὶ τὰ εὔφορα οὖν τῆς Αἰτωλίας καὶ τῆς Ἀκαρνανίας χωρία κατέλαβον οἱ Πελασγοί, ὁπόθεν ἔοικεν αὐτοὺς καὶ εἰς Ἤλιδα διαπεραιωθῆναι, οἱ γὰρ κάτοικοι αὐτῆς ἀνέκαθεν συγγενεῖς τοῖς Αἰτωλοῖς εἶναι ἐλέγοντο. οὕτως οὖν ὁρῶμεν πάντα τὰ πεδία τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ὑπὸ τοῦ γεωργικοῦ τούτου λαοῦ κατειλημμένα.

3) Ἡ τῆς Γόρτυνος πεδιὰς κεῖται ὑπὸ ταῖς μεσημβριναῖς τῆς Ἴδης ὑπωρείαις ἐν τῷ μέσῳ τῆς Κρήτης, ἔνθα τὸ μεῖζον αὐτῆς πλάτος ἐστίν. ὅρα ἔμπροσθεν, § 2.

4) Ὅρα καὶ Gladstone's hom. Stud. p. 68 καὶ Schömann's gr. Alterth. 1, 5.

5) Καί ἡ τῆς λέξεως Δημήτηρ σύνθεσις, ἐκ τοῦ 'γῆ' (Δωρικῶς δᾶ) καὶ 'μήτηρ', δηλαδὴ θεὰ (οἵα περ Ῥέα μεγάλη μήτηρ ἐκαλεῖτο), δείκνυσι τὴν τῆς θεότητος ταύτης φύσιν. ἦν δ' ἡ μήτηρ αὕτη τῆς γῆς Διὸς ἀδελφή, ὃς πατὴρ οὐρανοῦ ἦν. οὕτως οὖν ἡ οὐρανία δύναμις, ἡ γηΐνη

*Πύρασον, ἀποθήκην ἴσως οὖσαν μεγάλης σίτων συγκομιδῆς καὶ κατὰ θάλασσαν ἐξαγωγῆς, οἷα παρὰ τῇ δυτικῇ τοῦ Παγασητικοῦ ἢ Πελασγικοῦ κόλπου παραλίᾳ κειμένην, καλεῖ ὁ Ποιητὴς Δήμητρος τέμενος*[1]. *ἀλλὰ τὴν θρησκευτικὴν ταύτην λατρείαν ὁρῶμεν σὺν τῇ τοῦ Διὸς ἐν πάσῃ τῇ Εὐρωπαϊκῇ Ἑλλάδι καθεσταμένην, ἔνθα περ Πελασγικός λαὸς κατεσκήνωτο, ὡς ἐν τοῖς Μικρασιανοῖς Ἕλλησι, θαλασσίοις οὖσι, πρὸς τῇ τοῦ Διὸς τοῦ κοινοῦ ἐν τοῖς Γραικοϊταλοῖς θεοῦ καὶ τὴν Ποσειδῶνος, εἰσαχθεῖσαν τῇ τῶν Ἰώνων πρωΐμῳ ἐπιμιξίᾳ καὶ εἰς τοὺς Εὐρωπαϊκοὺς Ἕλληνας. οὕτως οὖν ἐν Ἐλευσῖνι ἱερὸν τῆς ξανθῆς Δήμητρός ἐστιν, ἔνθα Τριπτόλεμος, Πελασγὸς ἀνήρ, τὴν λατρείαν αὐτῆς εἰσάγει· ἐν δὲ τῷ Ἰάσῳ Ἄργει, ἐν τοῖς Ἀρκάσι Πελασγοῖς, Ἰασίων υἱὸς Διὸς καὶ Δήμητρος ἀνὴρ γίγνεται, τουτέστιν ὁ δῖος ἢ οἱ δῖοι Πελασγοὶ οἱ καὶ ἐν αὐτῷ ἐνιδρυθέντες καὶ σὺν τῇ γεωργίᾳ καὶ τὴν τῆς θεᾶς λατρείαν εἰσαγαγόντες. τοῦτ' αὐτὸ καὶ ἐν Κρήτῃ ὁρῶμεν, ἔνθα ἡ θεὰ ἐξ Ἰασίωνος αὖθις Πλοῦτον τίκτει. ἐν ἑκάστῳ δὲ τῶν Πελασγικῶν τούτων ἐνδιαιτημάτων τὴν τιμὴν τῆς ἐν αὐτῷ γεννήσεως τῆς θεᾶς ἰδιοποιοῦντο*[2], *φάσκοντες ἐντεῦθεν αὐτὴν τὰς ἄλλας ἐπέρχεσθαι χώρας τοὺς λαοὺς αὐτῶν τὴν γεωργίαν διδάσκουσαν*[3]. *ἡ ἰδιοποίησις αὕτη τῶν κατὰ τόπους Πελασγῶν, ὡς καὶ ἡ περὶ τῆς γεννήσεως τοῦ Διός, καί περ διαφωνίας περιέχουσα, τὴν ἀρχὴν ἐκ τῶν κατὰ τόπους παραλλασσουσῶν μυθολογικῶν παραδόσεων ἐχούσας*[4], *ἀλλά γε δείκνυσι τὴν ἐν τοῖς λαοῖς τούτοις συγγένειαν, παρ' οἷς αἱ Πελασγικαὶ αὗται θεότητες ἐλατρεύοντο. Ἡρόδοτος δέ φησι*[5] *τήν τε Δήμητρα καὶ τὰ Θεσμοφόρια αὐτῆς ἴδια τοῖς Πελασγοῖς εἶναι.*

§ 34. *Ἡ οὖν ὁμοιότης τῶν πρώτων πρὸς κοινωνικὴν σύστασιν αἰτουμένων καὶ ἐν τηλικαύτῃ ἐκτάσει ὁρωμένων, ἡλίκη ἡ ἀπὸ τῶν Μικρασίας παραλιῶν ἄχρι Ταινάρου καὶ Κρήτης, δείκνυσιν ὅτι πρὸ τῶν Τρωϊκῶν εἷς λαὸς ἀνὰ πᾶσαν τὴν τῆς Εὐρωπαϊκῆς Ἑλλάδος γῆν ἐσκεδασμένος ἦν, ὁ Πελασγικός,*

*καὶ ἡ (ἐν τοῖς Μικρασιανοῖς μάλιστα Πελασγοῖς τοῦ Ποσειδῶνος) θαλασσία, ἐν προσώποις νοούμεναι, τὸ τοῦ θεολογικοῦ τῶν προγόνων τῶν Ἑλλήνων συστήματος, τῶν Πελασγῶν, θεμέλιον ἐποίουν.*

1) *Ὅρα Ὁμ. Ἰλ. β, 695—696. παράβ. καὶ Στράβ.* IX, 435. *Στέφ. Βυζ. ἐν λέξεσι Πύρασος καὶ Δημήτριον. Σκύλ. περ.* 63. *καὶ* Livius, 28, 6.

2) *Ἡσίοδός φησιν (ἐν Θεογον.* 971) *τὴν θεὰν ἐν φιλότητι μετ' Ἰασίου 'ἐν Κρήτῃ, ἐν πίονι δήμῳ μιγῆναι', Ὅμηρος δὲ (ἐν Ὀδυσ. ε,* 145—127) *μετ' Ἰασίωνος (δηλαδὴ τοῦ Ἰάσου ἢ τοῦ υἱοῦ αὐτοῦ) 'νειῷ ἐνὶ τριπόλῳ', ἀλλ' οὐ τῆς χώρας μνείαν ποιεῖται.*

3) *Ὅρα περὶ Ἰασίου καὶ Δήμητρος* Hoeck, I, 330—339, *καὶ* Gladstone's hom. Stud. p. 11—13.

4) *'Ζεῦ, σέ μὲν Ἰδαίοισιν*
*ἐν οὔρεσί φασι γενέσθαι·*
*Ζεῦ, σέ δ' ἐν Ἀρμαδίῃ·*
*πότεροι, πάτερ, ἐψεύσαντο'; Καλλίμ, ὕμνῳ Α',*

5) *Ὅρα βιβλ.* II, 171.

ὅς ἐπ' αὐτῶν ἤδη καταβεβυθισμένος ὤν, ἡ ὑποστάθμη, οὕτω φάναι, τοῦ νέου Ἑλληνικοῦ κόσμου, τοῦ καθ' Ὅμηρον Ἀχαϊκοῦ, ἡ ἀγρωτικὴ τάξις ἐστίν[1]), οἱ δ' ὑπὸ τοῦ Ποιητοῦ καὶ τῶν λογογράφων ἀναφερόμενοι λαοὶ Κᾶρες, Λέλεγες, Κουρῆτες, Καύκωνες, Ἄονες, Τέμμικες, Ὕαντες, Τελχῖνες, Βοιωτικοὶ Θρᾷκες, Μινύαι, Τηλεβόαι, Ἐφυραῖοι, Τάφιοι, Ἐπειοί, Ἄβαντες, Καδμεῖοι, Δαναοί[2]), Ἀργεῖοι καὶ ἄλλοι ἦσάν γε διάφοροι ἐκείνου κλάδοι, ὧν τινες τῶν ἄλλων κατὰ καιροὺς ἐξήρθησαν, οἷόν περ ἐπὶ τῶν χρόνων τῶν ἱστορικῶν ἐν ταῖς ἤδη διακεκριμέναις τρισὶ τῶν Ἑλλήνων φυλαῖς τοτὲ μὲν οἱ Ἴωνες, τοτὲ δ' οἱ Δωριεῖς, τοτὲ δ' οἱ Αἰολεῖς (ὡς τῶν ἐν Βοιωτίᾳ Θηβῶν) ὑπὲρ τοὺς ἄλλους εἰς ὕψος αἴρονται.

§ 35. Τῶν πολλῶν τούτων κλάδων εἷς καὶ τὸ πέρας τοῦ κυκλοτεροῦς ἐν τῷ Αἰγαίῳ Πελασγικοῦ κόσμου οἱ ἐν Κρήτῃ δῖοι τοῦ Ποιητοῦ Πελασγοὶ ἦσαν. οὗτοι διεπεραιώθησάν γ' εἰς τὴν νῆσον ἐκ τῆς κατεναντίον καὶ ἐγγὺς κειμένης Πελοποννήσου. ὁ Γλάστων παραδεξάμενος ἐν πολλοῖς τῶν Ὁμηρικῶν Σπουδῶν βορείαν τῶν Πελασγῶν εἰς Ἑλλάδα εἰσβολήν, ἀπὸ Θρᾴκης καὶ Μακεδονίας, ἐν ἄλλοις σαλεύει ἐν δυσὶν εἰσβολαῖς, ἀπὸ βορρᾶ καὶ νότου, ὥς φησι, γενομέναις διά τε τῶν μεταξὺ Ἀκροκεραυνίων, Λάκμωνος καὶ Ὀλύμπου διόδων καὶ ἀπὸ Κρήτης· τοῦτο δὲ ποιεῖ ὁρῶν ἐν Κρήτῃ ὡς καὶ ἐν Ἠπείρῳ καὶ Θεσσαλίᾳ πρὸς τοῖς ἄλλοις τεκμηρίοις τοῖς περὶ Πελασγικῆς τοῦ γένους ἀρχῆς τῶν ἀνὰ τὴν Ἑλληνικὴν χώραν πρὸ τῶν Τρωϊκῶν οἰκούντων λαῶν καὶ τὴν Διὸς καὶ Δήμητρος φυσιολατρείαν[3]). ἀλλὰ ταὐτὰ ὁρᾶται τεκμήρια ἔν τε τῇ Πελασγικῇ Πελοποννήσῳ, καὶ δὴ ἐν Ἀρκαδίᾳ, καὶ ἐν Ἐλευσῖνι, οὕτω δὲ παραδεξαίμεθα ἂν οὐκ ἀπιθάνως καὶ εἰς αὐτὰς ἀπόβασιν θαλασσίαν ἐξ ἀνατολῶν, ἐκ τῶν κατεναντίον Μικρασιανῶν Πελασγῶν, τῶν τῆς Μικρασίας παραλιῶν μὴ διεχουσῶν πλεῖον τοῦ Σκυλλαίου τῆς Ἀργολίδος ἀκρωτηρίου (καὶ δὴ τῶν κατέναντι τῆς νήσου Χίου ἀπὸ τοῦ Σουνίου τῆς Ἀττικῆς) ἢ τοῦ τῆς Κρήτης Σαμωνίου τοῦ κατεναντίον Καρίας καὶ Λυκίας. τί δὲ πιθανώτερον; τὸ χωρεῖν τοὺς Πελασγοὺς ἐκ βορρᾶ εἰς τὴν Εὐρωπαϊκὴν Ἑλλάδα μέχρι Κρήτης, εἰς αὐτὴν διαπεραιουμένους διὰ τοῦ στενοῦ τῆς θαλάσσης πόρου τοῦ μεταξὺ τοῦ ἀκρωτηρίου τῆς Πελοποννήσου Μαλέου καὶ τῶν τῆς Κρήτης Κωρύκου καὶ Δικτυνναίου[4]), ἢ τὸ

1) Ὅρα καὶ Gladstone's hom. Stud. p. 85—86.

2) Περὶ Κάδμου, Δαναοῦ καὶ Κέκροπος, περὶ Καδμείων καὶ Δαναῶν, ὡς τῶν μὲν κατὰ προσωποποιΐαν ἐπωνύμων, τῶν δ' αὐτοχθόνων ἢ Πελασγικῶν ἀνέκαθεν λαῶν ὄντων, μηδόλως δὲ Φοινίκων ἢ Αἰγυπτίων, ὅρα Gladstone's hom. Stud. p. 37—39. Grote, I, 601 καὶ 602. Schömann's gr. Alterth., I, 12—17, παράβαλε καὶ τὴν ὑπ' Ἐρνέστου Κουρτίου ἐξήγησιν τῶν λεγομένων ἀποίκων Κάδμου καὶ Δαναιοῦ ἐν σελ. 40, τόμῳ πρώτῳ τῆς Ἑλλην. ἱστορίας.

3) Ὅρα Gladstone's hom. Stud. ἰδίως § 5 καὶ § 13.

4) Ὅρα καὶ τὰ ἔμπροσθεν λεχθέντα (ἐν § 12.) περὶ ἀπώσεως τῶν

διαπλεῖν τὴν δὶς εὐρυτέραν θάλασσαν, τὴν μεταξὺ τῶν τῆς Λυκίας παραλιῶν καὶ τοῦ ἀνατολικοῦ τῆς Κρήτης ἀκρωτηρίου Σαμωνίου, ἢ τὴν πεντάκις, τὴν μεταξὺ Κρήτης καὶ Κύπρου, ἐν ᾗ τὸ πρῶτον δοκεῖ Σημητικὰ μᾶλλον φῦλα ἐνιδρύσθαι[1]), οἵου τ' ὄντος τοὐναντίον γενέσθαι, ἐκ Κρήτης δηλαδὴ εἰς Κύπρον τοὺς Πελασγοὺς ἀπαίρειν[2]); Οἴκκιος δὲ καίπερ παραδεχόμενος κατ' ἀρχὴν τὴν ἀνέκαθεν ἐν Πελοποννήσῳ, καὶ δὴ ἐν Ἀρκαδίᾳ, καὶ τὴν πρώϊμον ἐν Κρήτῃ τῶν Πελασγῶν ὕπαρξιν, καὶ σὺν ἀγχινοίᾳ τε καὶ ἀκριβείᾳ ἐξετάζων καὶ ἰχνοσκοπῶν πότε καὶ πῶς εἰς ταύτην ἀφίκοντο, ὅμως γ' ἐπέχει μὴ ἀποφαινόμενος, ὁπόθεν εἰς τὴν νῆσον διεπεραιώθησαν, ὡς τῶν Ἀρκάδων καὶ ἐπὶ τῶν Τρωϊκῶν, οἷά περ μεσογείων ὄντων, μηδεμίαν ἐχόντων ναυτικὴν δύναμιν[3]), εἰ καὶ ἐπὶ τέλους ἐν τοῖς περὶ τῶν διηγήσεων καὶ τῶν ἀξιώσεων τῶν Ἀρκάδων ἐπὶ τῶν τῆς Κρήτης πόλεων Γόρτυνος καὶ Κυδωνίας, δογματίζων ὡς οὐδεμία παράδοσις ἄνευ αἰτίας ἀρχὴν λαμβάνει, παραδέχεταί πως ἐν τῇ τῶν Κυδώνων χώρᾳ φυλήν τινα Πελασγικὴν πρωΐμως ἐνιδρύσθαι καὶ ταύτην ἐξ Ἀρκαδίας εἶναι[4]).

§ 36. Ἐκθέντες ἐν τοῖς μέχρι τοῦδε, ὅτι λαοὶ Πελασγικοὶ τὸν Ἑλλήσποντον ὑπερπηδήσαντες κατεκάλυψαν ἐν ἐνδελεχεῖ σειρᾷ καὶ τὴν Εὐρωπαϊκὴν Ἑλλάδα ἐν προϊστορικῷ χρόνῳ, ἀπὸ τοῦ βορειοτέρου ἄκρου, ἀπὸ Θρᾴκης καὶ Μακεδονίας, ἄχρι τοῦ ἀκωτηρίου Ταινάρου, ἔφημεν ὅτι ὁ ἔσχατος τῶν Πελασγικῶν τούτων, οὕτω φάναι, σταθμῶν ὁ ἐν Κρήτῃ εἴη. ἀλλὰ καίτοι φαμὲν τὸ τέρμα τῆς ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι πορείας τῶν Πελασγῶν τὴν Κρήτην εἶναι, ὅμως γ' οὐκ ἀντιλέγομεν μὴ διαπεραιωθῆναι εἰς αὐτὴν μικρὸν πρότερον ἢ τὸν αὐτὸν περίπου χρόνον τοῖς ἐκ Πελοποννήσου ὁρμηθεῖσι καὶ Μικρασιανοὺς Πελασγοὺς ἐκ τῶν κατεναντίον παραλίων τῆς Μικρασίας καὶ ἰδίως τῆς Λυκίας καὶ ἐκ τῶν τῆς Φρυγίας, προστεθείκαμεν γὰρ ἐκεῖ, ὅτι τὰς ἐν κύκλῳ τοῦ Αἰγαίου παραλίας σὺν τοῖς μεσογείοις ὁ Γραικοϊταλικὸς ἢ Πελασγικὸς τῶν Ἀριανῶν κατασχείη κλάδος[5]). ἴσμεν δ' ὅτι ἡ μόνη παρ'

πρώτων τῆς Κρήτης κατοίκων, τῶν Ἐτεοκρήτων, ἀπὸ τῶν δυτικῶν πρὸς τὰ ἀνατολικὰ αὐτῆς, πρὸς τὴν Ἴδην, καὶ τέλος ὑπὸ τὰς νοτίας τῆς Δίκτης ὑπωρείας περὶ τὴν πόλιν Πραῖσον καὶ εἰς αὐτήν.

1) Ὅρα E. Curtius gr. Gesch. I, 33.

2) Gladstone's hom. Stud. p. 30.

3) „Ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει". Ὁμ. Ἰλ. Β, 614. ἀλλ' ὡς παρὰ τοῦ τῶν ἀνδρῶν ἄνακτος Ἀγαμέμνονος ναῦς ἔλαβον, ἵνα τοῖς ἄλλοις ἐπὶ Τροίαν συναπάρειαν, οὕτω γ' οἷοί τε ἦσαν καὶ εἰς τὴν μικρὸν τῆς Πελοποννήσου διέχουσαν Κρήτην μεταβῆναι ναυσὶν ἑτέρων ἐν ταῖς ἀκταῖς οἰκούντων ὁμοφύλων, οἷον Λελέγων, Καρῶν καὶ τῶν ἄλλων, χρώμενοι. ὅρα καὶ E. Curtius gr. Gesch. I, 141.

4) Ὅρα Hoeck, I, 147—155, παράβαλε καὶ E. Curtius gr. Gesch. I, 141.

5) Ὅρα ἔμπροσθεν § 26, καὶ πρότερον, ἔνθ' ὁ λόγος, τίνες τῶν Πελασγῶν ἑκάστην τῶν τριῶν Χερσονήσων, Μικρασίαν, Εὐρωπαϊκὴν Ἑλλάδα καὶ Ἰταλίαν κατέσχον.

Ὁμήρῳ τειχιόεσσα περιᾳδομένη Γόρτυν τῆς Κρήτης[1]) Λάρισσα τὸ πρὶν ἐκαλεῖτο[2]), ὡς καί τι πεδίον αὐτῆς ἀνατολικῶς Λαρίσσιον[3])· πόλις δὲ Λάρισσα ἔν τε τοῖς Καΰστρου πεδίοις παρ' Ἐφέσῳ μετὰ Ἀπόλλωνος τοῦ Λαρισσοῦ ἦν καὶ ἐν ταῖς Τροίας ἢ Φρυγίας παραλίαις[4]), ἐξ ὧν περ παραδίδοται ὁμάδας λαῶν εἰς Κρήτην ἀπᾶραι, οἵας φασὶ τὰς Κουρήτων, Ἰδαίων Δακτύλων καὶ ἄλλων, καὶ εἰσαγαγεῖν κατὰ τὸ ἀνατολικὸν αὐτῆς καὶ τὸ μέσον τήν τε τοῦ Διὸς τοῦ Φρυγικοῦ φυσιολατρείαν καὶ ἄλλα θρησκευτικὰ ἔθιμα καὶ κοινωνικὰς διατάξεις εἰς τοὺς πρώτους κατοίκους, τοὺς Ἐτεόκρητας, οἷς συνεμίγησαν[5]). τότ' ἔοικε τοὺς ἐκ Φρυγίας τούτους Πελασγοὺς τὴν Κρητικὴν Λάρισσαν οἰκίσαι, ὁπόθεν ὡς καὶ ἐξ ἄλλων τῆς νήσου μερῶν οἱ μικρὸν εἶτα, ἢ τὸν αὐτὸν περίπου χρόνον ἐκ Πελοποννήσου πολυπληθέστεροι ἐπελθόντες Γραικοὶ Πελασγοὶ ἀπέωσαν αὐτούς τε καὶ τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ἐτεόκρητας καὶ Φοίνικας Σημίτας καὶ ὑπὸ τῷ ὄρει Δίκτῃ συνέστειλαν, Γόρτυνα τὴν τέως Λάρισσαν μετονομάσαντες[6])· διὸ καὶ Στράβων φησὶ[7]) τοὺς Ἐτεόκρητας τούτους προσεοικέναι μᾶλλον Ἀσιανοῖς τισι λαοῖς ἢ Ἑλληνικοῖς, τουτέστι Γραικοπελασγοῖς· ἥ τε γὰρ γλῶσσα αὐτῶν Φρυγικαῖς τε καὶ Φοινικικαῖς ἐμέμικτο λέξεσιν, οἷα καὶ Ὅμηρος ὑποδηλοῖ φάσκων, 'ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη'[8]), καὶ ἡ λατρεία τοῦ παρ' αὐτοῖς Φρυγικοῦ Διός, τοῦ ἐν τῇ πρωτευούσῃ πόλει αὐτῶν Πραίσῳ ἔξοχα τιμωμένου, θρησκευτικοῖς συνεπέφυρτο ἐθίμοις Μολὼχ τοῦ θεοῦ τῶν Φοινίκων Σημιτῶν, οἵ περ πρωϊμώτερον καὶ τῶν Μικρασιανῶν καὶ τῶν Γραικῶν Πελασγῶν ἐν τοῖς ἀνατολικοῖς ἰδίως τῆς Κρήτης δοκοῦσιν ἐνιδρύσθαι, περὶ ὧν δ' ἐν ὀλίγοις δεῖ ἡμᾶς τάδ' εἰπεῖν.

§ 37. Εἴδομεν ἀνωτέρω, ὅτι ἡ πόλις Γόρτυν Λάρισσα τὸ πρὶν ἐκαλεῖτο, ὅπερ, ὡς εἴρηται, τὴν Πελασγικὴν αὐτῆς φύσιν καὶ ἀρχὴν δείκνυσιν. ἔτι πρότερον ὅμως Ἑλλωτὶς ἐκαλεῖτο[9]). δοκεῖ δὲ τὴν λέξιν ταύτην Σημιτικὴν μᾶλλον ἢ Ἑλληνικὴν εἶναι. καὶ ἡ θεὰ δ' Εὐρώπη οὕτω παρὰ Κρησὶν ὠνομάζετο, καθ' ἃ Στέφανος ὁ Βυζάντιός φησι, πρὸς τιμὴν δὲ

1) Ὅρα Ἰλ, Β, 672. 2) Στέφ. Βυζ, ἐν λ. Γόρτυν.

3) Στράβ. IX, 672, παράβ. καὶ Dio Cassius XXXVI, 2, καὶ Στέφ. Βυζ. ἐν λ. Ἱερὰ Πύτνα.

4) Ὅρα Ὁμ. Ἰλ. Β, 841 καὶ Ρ, 301. φασί τινες ταύτην εἶναι τὴν παρὰ τῇ Αἰολικῇ Κύμῃ τὴν καὶ Φρυκωνίδα ἐπικαλουμένην. παρ' Ἡροδότῳ δὲ καλεῖται (ὅρα IX, 440.) πληθυντικῶς, αἱ Λήρισσαι.

5) Ὅρα περὶ τούτων διὰ μακρῶν ἐν Hoeck, I, βιβλ. 1 καὶ 2, διὰ βραχέων δὲ ἐν I, 143 καὶ II, 14. παράβαλε καὶ Grote, 1, 14 καὶ 15, καὶ Gladstone's hom. Stud. § 11.

6) Οὕτως ἡγούμεθα οἷόν τε εἶναι τὰ δύο τῆς πόλεως Πελασγικὰ ὀνόματα, Λάρισσα καὶ Γόρτυν, ἐξηγηθῆναι, περὶ ὧν Στέφανος ὁ Βυζάντιος λόγον ποιεῖται. ὅρα λέξεις. παράβαλε καὶ E. Curtius gr. Gesch. I, 141.

7) Ὅρα βιβλ. X, 478. 8) Ὅρα Ὀδύσ. Τ. 175.

9) Στέφ. Βυζ. ἐν λ. Γόρτυν. κατὰ τὸν αὐτὸν δέ καὶ Κρημνία· κατὰ γραφὴν δέ τινα Ἡσυχίου οἱ Γορτύνιοι καὶ Καρτεμνίδες ἐκαλοῦντο.

αὐτῆς τὰ Ἑλλώτια ἤγετο. ἢν δὲ παραδεξώμεθα, ὅτι ἡ λέξις Σημητική τίς ἐστι (Φοινικική)[1]), τὸ δ' ὄνομα Εὐρώπη μεθερμήνευσις αὐτῆς, δῆλον τούτοις ὅτι θεὰν καλὴν ἔχουσαν τὴν ὄψιν, τὸ πρόσωπον σημαίνει, οἷά περ ἡ πλησιφαὴς σελήνη, συνεκδοχικῶς δ' ὅτι ἡ ὑστέρῳ χρόνῳ Λάρισσα, εἶτα δὲ Γόρτυν, ἣν πόλις, ἐν ᾗ πρωΐμως Φοίνικες ἐνίδρυντο, ἐν ᾗ σταθμὸς Σημιτικῆς ἀστρολατρείας ἦν, καθ' ἅπερ καὶ τὰ ὀνόματα τὰ ἀεὶ ἐν Γόρτυνι λατρείαις τιμώμενα καὶ ταῖς περὶ Εὐρώπης παραδόσεσι ποικίλως συμπλεκόμενα, Ταῦρος, Ἀστέριος, Τηλέφασα, Πασιφάη δείκνυσι. καίτοι δὲ τὸ τῆς ἐπιστήμης φῶς νῦν ἀπέδειξεν, ὅτι αἱ τῶν τεχνῶν, τῶν γνώσεων καὶ τῶν ἐπιστημῶν ἀρχαὶ ἀνέκαθεν οἰκεῖαι τοῖς Ἕλλησιν εἴησαν, πᾶν γὰρ ἔθνος, καὶ δὴ τὸ ὑπὸ τοιοῦτον οὐρανὸν καὶ κλίμα Ἑλληνικόν, ἀνατρέχει τὰς τῇ φύσει αὐτοῦ ἀποκειμένας βαθμίδας τῆς ἐπὶ τὰ κρείττω ἐπιδόσεως, τουτέστιν ἔχει γέννησιν, ἀκμὴν καὶ παρακμήν, ὅμως γ' ὁμολογοῦσι πάντες, ὡς ἦν τις καὶ πρὸ τῆς τῶν Πελασγῶν δήπου εἰς Ἑλλάδα εἰσβολῆς χρόνος, ἐν ᾧ Φοίνικες ναυτίλοι οὐ μόνον τῇ πρὸ ποδῶν καλῇ, πιείρᾳ καὶ περιρρύτῳ τοῦ Ποιητοῦ Κρήτῃ[2]), ἀλλὰ καὶ τῇ ἀνατολικῇ καὶ τῇ δυτικῇ τοῦ Αἰγαίου παραλίᾳ προσεφοίτων[3]), οὐχ ἧττον λέγουσιν ὅτι καὶ τῆς ἐπιμιξίας ταύτης μὴ οὔσης, τὸ Ἑλληνικὸν ἔθνος αὖθις τοιοῦτον ἂν γένοιτο, οἷόν περ ἀπέκειτο τῇ φύσει αὐτοῦ γενέσθαι καὶ γέγονεν. ἄλλα δὲ τεκμήρια πείθει ἡμᾶς παραδέξασθαι Φοίνικας πρωΐμως ἐνιδρυμένους, εἰ μὴ ἀνὰ τὴν Κρήτην πᾶσαν, ἀλλ' οὖν γε κατὰ τὰ ἀνατολικά, ἐκεῖθεν τῆς Ἴδης, ἄχρις οὗ ἢ ἐξεβλήθησαν ὑπὸ τῶν ὕστερον Πελασγικῶν βασιλέων, καὶ δὴ τοῦ Μίνωος, ἢ συνεχύθησαν τοῖς Ἐτεόκρησι καὶ τοῖς Φρυγικοῖς Πελασγοῖς, ὡς μικρὸν ἀνωτέρω εἴρηται· διό περ καὶ ὁ Ποιητὴς τῇ φράσει, 'ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη'[4]), ὑποδηλοῖ ὕπαρξιν καὶ ἑτέρας τινὸς γλώσσης μὴ καθαρῶς Ἑλληνικῆς, ἀλλά ποῦ τινος μιγάδος. μικρὸν γὰρ πρὸς ἀνατολὰς τῆς Γόρτυνος ἡ Πραῖσος ἵδρυτο, ἕδρα οὖσα τῆς Φρυγοφοινικικῆς λατρείας τοῦ τε Διὸς καὶ τοῦ Μολώχ, οὗ τὸ εἴδωλον ἐξεκαίετο πρὸς τὸ τὰ θύματα τοῖς ξέ-

1) Σχοίμανος ἐν ὑποσημειώσει φησὶ (Schöm. gr. Alterth. II, 454.) τὸ ὄνομα Ἑλλωτίς ἐπίκλησιν εἶναι τῆς Εὐρώπης ἐν Κρήτῃ, ἐννοῶν ὡς ἡ λέξις Εὐρώπη οὐκ ἔστιν ἐκ τῆς Φοινικικῆς μεθερμήνευσις διὰ τό ὑπάρχειν Ἑλληνικὴν λέξιν (ἕλη) σημαίνουσαν θερμότητα, καὶ συνεκδοχικῶς φῶς. ἀλλὰ τὸ δεύτερον αὐτῆς μέρος 'ωτις' τί ποτε νοεῖ καὶ τίνα πρὸς τό 'ἕλη' σχέσιν ἔχει; Μίνωος δὲ θεωρουμένου ὑπὸ τοῦ αὐτοῦ συγγραφέως (ὅρα I, 12.) ὡς τινος προσωποποιΐας Φοινικικῆς κυριαρχίας, καίπερ Ὁμήρου καὶ Θουκυδίδου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους φασκόντων αὐτὸν καὶ ὑπάρξαι καὶ Ἑλληνικὸν πρόγονον γεγονέναι, ἡγούμεθα πολλῷ μᾶλλον τὴν Ἑλλωτίδα λέξιν Σημητικὴν εἶναι, ἕν τι δηλοῦσαν τῶν οὐρανίων σωμάτων, οἷς περ τὰ Σημητικὰ φῦλα ἐλάτρευε.

2) Ὅρα Ὀδύσ. Τ. 173.

3) Schömann's gr. Alterth. I, 10—17, καὶ E. Curtius gr. Gesch. I, 33 κτέ, 'Ueber die Phoenizier in Griechenland', καὶ I, 57—59,

4) Ὀδύσ. Τ, 175.

ουσι βραχίοσι περιλαβεῖν[1]). βορειοανατολικῶς δ' αὐτῆς, πρὸς τὸ τέρμα τοῦ μετὰ τὸν ἀνατολικὸν τῆς Ἴδης κλάδον πεδίου καὶ πρὸς τὸ Αἰγαῖον τετραμμένη ἡ Καρὰτ ἢ Καίρατος, ἡ ὑστέρῳ χρόνῳ μεγάλη τοῦ Ποιητοῦ πόλις Κνωσός[2]). κατὰ δὲ τὸ ἀνατολικὸν τῆς νήσου πέρας ἡ πόλις Ἴτανος[3]), ὀνομαστὸς ἐπὶ τῇ τῆς πορφύρας ἁλιείᾳ σταθμὸς τῶν τε Σιδωνίων καὶ τῶν Τυρίων[4]). ταῦτα καὶ περὶ τῶν Φρυγκῶν ἢ καθ' ὅλου τῶν Μικρασιανῶν Πελασγῶν καὶ τῶν Φοινίκων.

§ 38. Περαίνοντες δ' ὅλως τὰ περὶ Πελασγῶν προστίθεμεν, ὡς οὗτοι τὰ πρῶτα ἐν ἑαυτοῖς εἶχον σπέρματα τῆς εὐφυΐας τοῦ ὀψὲ ἔν τε τῇ ἀνθρωπίνῃ κοινωνίᾳ καὶ τῇ πολιτικῇ τοῦ κόσμου σκηνῇ τὸ πένταθλον τῆς πνευματικῆς καὶ ὑλικῆς προόδου ἀθλήσαντος Ἑλληνικοῦ ἔθνους, τὴν δὲ διὰ τοῦ Ἑλλησπόντου εἰς Εὐρώπην διάβασιν αὐτῶν θεωρεῖν δεῖ οἷόν περ τὴν διὰ τῆς Ἐρυθρᾶς ἐξ Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἔξοδον, ἐκ βάθους Ἀσίας εἴσοδον εἰς τὴν τῆς ἐπαγγελίας γῆν, εἰς τὸν τῆς πνευματικῆς μεγαλοφυΐας ναόν, εἰς τὴν καλὴν Ἑλλάδα, ἐν ᾗ ὑπὸ τὸν ξείδωρον αὐτῆς οὐρανὸν τὰ πρῶτα ἐκεῖνα σπέρματα κατὰ μικρὸν ἐφ' οὕτως ἀμιμήτου πρωτοτυπίας προελήλυθεν. ἐν μὲν γὰρ τῇ προσαρκτίῳ καὶ μυστηριώδει ἐκείνῃ Ἑλλάδι τὸν πρῶτον τοῦ κοινωνικοῦ οἰκοδομήματος θεμέλιον, τὸν τῆς θρησκείας, ἔθετο ὁ Πελασγὸς λίθον· χωρῶν δὲ πρὸς μεσημβρίαν ἐπήρκει ταῖς τοῦ βίου ἀνάγκαις τοῖς Κύκλωψι, Μελεάγροις, Ἡρακλέεσι, Θησεῦσιν, ἔρημα ἄργη ἀρόσιμα ποιούμενος, ἄγρια δάση καὶ δυσδιεξίτους δρυμοὺς βιωφελῆ καθιστάς, ἕλη καὶ τέλματα ἀποξηραίνων, ὁδοὺς πρὸς εὐχερῆ ἐπιμιξίαν χωρῶν ὄρεσι διεχομένων διανοίγων, Λαρίσσας, θησαυροὺς καὶ τάφους οἰκοδομῶν· ἐν τοῖς διαρκέσι δὲ τούτοις ἔργοις ὁ φιλεργὸς ἐκεῖνος λαὸς ἥψατο καὶ τῆς πλαστικῆς τέχνης, ἡ πρώτη δ' ἀπόπειρα τὸ ἰδιοφυὲς αὐτοῦ πρὸς τὴν τοῦ καλοῦ παράστασιν δείκνυσιν, ὡς δῆλον γίγνεται τοῖς ἐν τῇ τοῦ Ἀτρέως θησαυροῦ θύρᾳ πρὸς ἀρχιτεκτονικὴν ἐπικόσμησιν ἱσταμένοις λέουσι, τῷ μόνῳ περιγενομένῳ ἡμῖν πλαστικῷ μνημείῳ ἐκ τῶν παναρχαίων ἐκείνων χρόνων· ἐπὶ μεγάλου δὲ τῆς Εὐρωπαϊκῆς Ἑλλάδους μέρους, ἐπὶ τῆς νήσου Κρήτης φαίνονται οἱ Πελασγοὶ τὸν ὕπατον τῆς αὐτοῖς ἀποκειμένης κοινωνικῆς προόδου βαθμὸν ἀναδραμόντες, ὁ γὰρ ἀριθμὸς ἐκεῖνος τῶν πολλῶν τε καὶ μεγάλων ἐν αὐτῇ πόλεων μέγα ἐστὶ τεκμήριον ἐν οὕτω παναρχαίοις χρόνοις ὑλικῆς προόδου καὶ εὐδαιμονίας, τὸ δὲ βασίλειον καὶ ἡ θαλασσοκρα-

1) Ὅρα E. Curtius gr. Gesch. I, 58.
2) Ὀδύσ. Τ, 178. Στράβ. Χ, 476. Καλλίμ. ὕμνῳ Ἀρτέμιδος, 44.
3) Ἡρόδ. IV, 151. Hoec, I. 17 καὶ 18, 77 καὶ 78.
4) Ὅρα τὴν Οἰκκίου διὰ μακρῶν μέν, ἀλλά γε σπουδαίαν περιγραφὴν περὶ τῶν ἐν Κρήτῃ Φοινίκων, Kreta, I, 68—109, καὶ Duncker's alte Gesch. I, 203, ἔκδ. Β'. — Στέφανος ὁ Βυζάντιός φησιν, 'Ἴτανος πόλις ἐν Κρήτῃ, ἀπὸ Ἰτάνου Φοίνικος, ἢ τῶν Κουρήτων ἑνὸς μιγάδος.'

τία τοῦ Γραικοπελασγικοῦ βασιλέως Μίνωος, ὃν ὁ περιεσκεμμένος Θουκυδίδης[1]) ἐν τῇ τῆς Ἑλληνικῆς ἱστορίας βαλβῖδι τίθησιν, οἷα πιστικοὺς ἔχων λόγους περί τε τῆς ὑπάρξεως καὶ τῶν θρησκευτικῶν καὶ τῶν πολιτικῶν αὐτοῦ διατάξεων[2]) δεικνῦσιν[3]), ὅτι τὸ Ἑλληνικὸν ἔθνος ἐξαιρέτως καὶ ἐν αὐτῇ τῇ Πελασγικότητι, οὕτω φάναι, ἐν τῇ βρεφικῇ ἡλικίᾳ παῖζον ἐμεγαλούργει. εἰ δ' ὁ δεινὸς ἱστορικὸς Γρότης ἐπέχει ἑαυτὸν καὶ ἐν τοῖς περὶ Πελασγῶν, οὓς ἀτάφους καλεῖ[4]), γνώμην ἀποφήνασθαι, εἰ οὗτοι πρόγονοι τῶν Ἑλλήνων ἢ μὴ ἐγένοντο, καταφατικῶς ἑτέρων ἀποφαινομένων, καὶ πρὸς τὴν Μίνωος ὕπαρξιν ταλαντεύεται, τοῦτο ποιεῖ κανόνι ἐν ταῖς ἱστορικαῖς ἐρεύναις χρώμενος εἰ μὴ τῷ ὅλως ἀπορρίπτειν, ἀλλ' οὖν γ' ἐνδοιάζειν περὶ τῶν ἀναγομένων ἄνω τῆς πρώτης ἀναγεγραμμένης Ὀλυμπιάδος[5]), περὶ ὧν φησι μηδεμίαν ἐκ τῶν χρόνων ἐκείνων ἔγγραφον μαρτυρίαν εἶναι, οἷα καὶ τῇ γραφῇ τῶν Ἑλλήνων μήπω χρωμένων, ἀλλὰ τὸ πᾶν ὑστέρῳ χρόνῳ ἐξ ὑποκειμένου καὶ ἰδίᾳ προαιρέσει διατετάχθαι.

## Δ'. Ἀχαιοί.

§ 39. Κατὰ τὰ ἐν ἀρχῇ ἕπονται τοῖς Πελασγοῖς Ἀχαιοί· ἐπεὶ δ', ὡς εἴρηται, τὰ περὶ τῶν παρ' Ὁμήρῳ πέντε λαῶν τῆς Κρήτης διεξιόντες, λόγον ποιούμεθα ἐπιτροχάδην καὶ περὶ τῶν τῆς Εὐρωπαϊκῆς Ἑλλάδος καθ' ὅλου, οὐκ ἂν εἴη ἄτοπον ἐν διαγράμματι διατυπῶσαι τὴν ἐθνολογικὴν σειράν, καθ' ἣν ἄχρι τῆς Δωριέων καταστάσεως, τό γ' ἡμᾶς εἰδέναι, δεῖ τούτους τάττεσθαι.

Τὸ γοῦν διάγραμμα τοῦτο οὕτως ἔχει·

Πελασγοὶ ἢ Γραικοϊταλοί· Γραικοὶ Πελασγοί, Αἰολεῖς (ἢ Ἀχαιοί), Δωριεῖς, τῶν Ἰώνων ἐν τῇ Ἀσιανῇ Ἑλλάδι, τῇ Μικρασίᾳ, οἰκούντων.

Κατὰ τοῦτο μηδένας ἄλλους θεωροῦντες ἀπογόνους καὶ

1) Ὅρα βιβλ. I, 4 καὶ 8.

2) Ὅρα περὶ τούτων E. Curtius gr. Gesch. I, 56—61, καὶ Gladstone's hom. Stud. p. 21—23. ἀλλὰ καὶ Ὅμηρος τουθ' ὁποδηλοῖ τῇ φράσει 'ὀαριστὴς Διός.' ὅρα Ὀδύσ. Τ, 179 καὶ Πλάτωνος Μίνωα, σελ. 319.

3) Καὶ Ἀριστοτέλης περὶ τῆς πολιτικῆς σπουδαιότητος τῆς γεωγραφικῆς τῆς Κρήτης θέσεως λέγων, παρίστησι τὸν Μίνωα δεινὸν τὰ πολιτικὰ καὶ κραταιὸν βασιλέα, ὡς κατανοήσαντα ἐν τοιούτοις χρόνοις τὸ σκόπιμον τῶν φυσικῶν τῆς βασιλίδος τῆς Μεσογείου πλεονεκτημάτων· φησὶ δέ, 'δοκεῖ ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς, πάσῃ γὰρ ἐπίκειται τῇ θαλάσσῃ, σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων· διὸ καὶ τὴν τῆς θαλάσσης ἀρχὴν κατέσχεν ὁ Μίνως, καὶ τὰς νήσους τὰς μὲν ἐχειρώσατο, τὰς δ' ᾤκισε· τέλος δ' ἐπιθέμενος τῇ Σικελίᾳ τὸν βίον ἐτελεύτησεν ἐκεῖ περὶ Κάμικον.' Πολιτ. II, 7, 2. καὶ Ἡρόδοτος δ' ἔν τισι χωρίοις παρίστησι τὸν Μίνωα ἱστορικὸν πρόσωπον. ὅρα ἰδίως I, 171, καὶ VII, 170.

4) Ὅρα Grote, Vorrede, VII.

5) Ὅρα τὸν αὐτὸν ἐν τοῖς περὶ Πελασγῶν, π. Μίνωος, π. χρήσεως τῆς χρονολογίας ἐν ταῖς Ἑλληνικαῖς παραδόσεσι, I, 579—601, 175—184, 416—434.

διαδόχους τῶν Γραικῶν Πελασγῶν ἢ τοὺς Αἰολεῖς, ἐξ ὧν αὖ ὀψὲ οἱ Δωριεῖς, ὡς λεχθήσεται, ἐγένοντο, μικρά τις μοῖρα ἐκείνων τὴν ἀρχὴν ὄντες, διεξίεμεν πρῶτον τὰ περὶ Αἰολέων, εἶτα δὲ καὶ περὶ Ἀχαιῶν τὰ εἰκότα λέγομεν.

§ 40. Τῷ λίαν ἐσκεμμένῳ τῶν Ἰνδογερμανικῶν γλωσσῶν παραλληλισμῷ, καὶ δὴ τῷ τῆς Λατινικῆς καὶ τῆς Σανσκριτικῆς πρὸς τὰς τρεῖς διαλέκτους τῆς Ἑλληνικῆς, δείκνυται ὅτι αὗται συγγενεῖς κατὰ βάθος εἰσίν· ἡ στενοτέρα δὲ τῆς Ἑλληνικῆς πρὸς αὐτὰς συγγένεια ἐν τῇ διαλέκτῳ τῇ Αἰολικῇ καταφανέστερον ὁρᾶται, οἷα πλεῖστα φερομένη τεκμήρια κοινῆς μετὰ τῆς Λατινικῆς κληρονομίας, ἣν δήπου, οἷά περ ἀδελφαὶ ἐκ τῶν αὐτῶν γονέων οὖσαι, κοινῶς παρειλήφασι. τούτων ἀναμφηρίστων ἤδη ὄντων, ἀκολουθεῖ ἀμέσους τῶν Γραικῶν Πελασγῶν ἀνὰ τὴν ἐπιφάνειαν τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ἀπογόνους καὶ διαδόχους τοὺς Αἰολεῖς εἶναι.

§ 41. Ὅτι δ' οἱ Αἰολεῖς οὗτοί εἰσιν ἡ ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι τῶν Πελασγῶν μοῖρα, ἐν ᾗ οἵ τε Δαναοὶ καὶ οἱ Ἀργεῖοι καὶ δὴ οἱ Ἀχαιοὶ τοῦ Ποιητοῦ περιέχονται, δῆλον πολλοῖς τε ἄλλοις ἑξῆς λεχθησομένοις[1]), καὶ τῇ ὑπὸ τῶν λογογράφων παραδιδομένῃ Αἰόλου τοῦ Ἕλληνος[2]) πρωτοτοκίᾳ καὶ τοῖς κατ' αὐτοὺς τούτους πᾶσαν τὴν Εὐρωπαϊκὴν Ἑλλάδα κατασχοῦσιν ἑπτὰ υἱέσι, πέντε θυγατράσι καὶ τοῖς ἐκ τούτων πολλοῖς ἐκείνου ἀπογόνοις, τοῖς ἄχρι Τρωϊκῶν τὰς μυθολογικὰς παραδόσεις ἡρωϊκῶν ἔργων πληροῦσιν, ἱστορικώτερον δὲ τοῖς τῶν Αἰολέων τούτων ἐνδιαιτήμασιν, ἐν ταῖς αὐταῖς χώραις οἰκοῦσιν, ἐν οἷς καὶ οἱ Γραικοὶ Πελασγοί, οἷον ἐν Θεσσαλίᾳ, Βοιωτίᾳ, Αἰτωλίᾳ[3]), Κορίνθῳ, Ἀρκαδίᾳ, Λακεδαίμονι, Μεσσηνίᾳ καὶ Ἤλιδι. ἐν γὰρ τῇ Πελασγικῇ Θεσσαλίᾳ δοκοῦσιν οἱ Αἰολεῖς ὡς οἱ Πελασγοὶ[4]) ἐπὶ πλεῖστον συμπεπυκνῶσθαι καὶ εἰς πλῆθος καὶ κοινωνικὴν πρόοδον ἐπιδεδωκέναι, διὸ καὶ τὸ ἀρχαιότερον τῆς χώρας ὄνομα Αἰολὶς ἦν. ἐν ἑκάστῃ δὲ τῶν εἰρημένων χωρῶν ὁρῶμεν παρά τε Ὁμήρῳ καὶ τοῖς λογογράφοις καὶ τοῖς Ἀλεξανδρεινοῖς ἕνα ἢ πλείους τῶν καλουμένων Αἰολιδῶν ἄρχοντας, οἷον Κρηθέα, Πελίαν, Φέρητα, Ἄδμητον, Ἰάσωνα καὶ ἄλλους ἐν Θεσσαλίᾳ· Ἀθάμαντα ἐν Βοιωτίᾳ· Σίσυφον ἐν Κορίνθῳ· Περιήρη, Ἀμυθάωνα καὶ Νηλέα ἐν Μεσσηνίᾳ[5]) καὶ Σαλμωνέα τὸν περιβόητον ἐν

1) Στράβων φησὶ (VIII, 333), 'οὕτω τοῦ Αἰολικοῦ ἔθνους ἐπικρατοῦντος ἐν τοῖς ἐκτὸς Ἰσθμοῦ καὶ οἱ ἐντὸς Αἰολεῖς πρότερον ἦσαν, εἶτ' ἐμίχθησαν'.

2) Ὁ Ὁμήρου Αἴολος πολλῷ παλαίτερός ἐστι τοῦ ὑπὸ τῶν λογογράφων παραδόσεσι περιγραφομένου ἢ ὑπ' αὐτῶν πλαττομένου τῆς φυλῆς ἐπωνύμου, ὅπερ ἐνισχύει μᾶλλον τὴν περὶ τῆς ἀρχαιότητος τῶν Αἰολέων γνώμην ἡμῶν. ὅρα περὶ τούτου Grote, I, 86—87.

3) Ὅρα Wesseling in Herodot. VII, 176. Palmer Graec ant., IV, 8. Θουκυδ. III, 102. Στρ. 464. Ἡσύχ. ἐν φράσει 'Αἰολικὸν Θέαμα'.

4) Ὑφ' Ἡροδότου καὶ Στράβωνος οἱ αὐτοὶ ὅλως θεωροῦνται οἵ τε Πελασγοὶ καὶ οἱ Αἰολεῖς. Ἡρόδ. VII, 95. Στράβ. V, 221.

5) Ὅ τε Νηλεὺς καὶ ὁ Πελίας υἱοὶ δίδυμοί εἰσι Τυροῦς τῆς Σαλ-

Ἤλιδι[1]). ἐν ἀρχῇ δὲ τῶν ἱστορικῶν χρόνων, μετὰ τὴν Ἡρακλειδῶν κάθοδον, ὁρῶμεν τοὺς Αἰολεῖς οὐ μόνον πρώτους αὐτοὺς μετανισταμένους, οἷά περ τὴν Δωριέων μὴ ἀνεχομένους πίεσιν, ἐκ τοῦ τῶν Πελοπιδῶν κράτους, ἐκ τῆς ὑφ' Ὁμήρου περιᾳδομένης ἐξόχως Ἀχαϊκῆς χώρας, τῆς Πελοποννήσου, καὶ ἐκ τῆς ἔξω Ἰσθμοῦ Ἑλλάδος καὶ ἰδίως ἐκ τῶν παραλίων Βοιωτίας, ἥπερ μετὰ Θεσσαλίαν ἡ δευτέρα τῶν Αἰολέων ἕδρα δοκεῖ γεγονέναι[2]), ἐκπλέοντας πρὸς ἀποικισμὸν τῆς χώρας, ἣν Αἰολίδα καλοῦσιν, οὐχὶ δ' Ἀχαΐαν, ἔνθ' Αἰολικὴν διάλεκτον φθέγγονται, οὐκ Ἀχαϊκήν, καί περ ὑπ' εὐπατριδῶν Ἀχαιῶν ἐπ' ἀποικισμῷ ἀγόμενοι, Πενθίλου, Ἐχελάου, Γρᾶ καὶ ἄλλων Πελοπιδῶν, ἀλλὰ καὶ τῇ Ἰωνικῇ μεταναστάσει τῇ ἐξ Ἀττικῆς μικρὸν ὕστερον ὁρμηθείσῃ ἀρχηγοὺς διδόντας τοὺς ἐκ Πύλου διὰ τὴν Δωριέων ἐπιδρομὴν εἰς Ἀθήνας ἐκχωρήσαντας Νηλέως καὶ Νέστορος Αἰολικοὺς ἀπογόνους[3]).

§ 42. Θουκυδίδης δὲ μνείαν ποιούμενος τῆς ὑπὸ Δωριέων τε καὶ Ἡρακλειδῶν κατοχῆς τῆς Πελοποννήσου φησὶ[4]) ταύτην γενέσθαι ὀγδοηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν. ἄλλοθι δὲ ποθί φησι[5]) τὸν Ἡρακλείδην Ἀλήτην τὸν Ἱππότου, μετά γε τὴν ἐπικράτησιν τῶν Αἰτωλοδωριέων ἐν ταῖς κύκλῳ τῆς Ἀρκαδίας χώραις, ἐκπολιορκῆσαι τὴν Σισυφιδῶν τέως Κόρινθον καὶ τοὺς ἐνοίκους Αἰολεῖς ὄντας ἐκβαλεῖν. τοιοῦτος ἱστορικός, οἷός περ ὁ Θουκυδίδης, εἶχε δήπου λόγους ἀποχρῶντας ὕπαρξιν Αἰολικοῦ λαοῦ τρεῖς γενέας μετὰ Ἰλίου ἅλωσιν παραδέξασθαι, τοῦτο δὲ μαρτυρεῖ καὶ ὑπὲρ τῆς πλείους πρότερον ἐπικρατήσεως τοῦ Αἰολικοῦ ὀνόματος[6])· οἱ γὰρ λαοὶ οὔκ εἰσιν ἄνθρωποι καθ' ἕν' ἕκαστοι, ἵν' εὐχερῶς ἡ ἡλικία καὶ αἱ γενεαὶ αὐτῶν ὑπολογίζωνται, ἀλλὰ κοινωνίαι, χρόνου μακροτέρου πρὸς ποιάν τινα ἐκμόρφωσιν δεόμεναι. ἣν δὲ παραδεξώμεθα τὴν Θεσσαλίαν οὕτω κληθῆναι ἀπὸ τῶν ἐκ Θεσπρωτίας εἰς αὐτὴν ἐμβαλόντων μαχίμων Θεσσαλῶν[7]),

μωνέως τοῦ Αἰόλου, ἐν δυσὶν ἀντιθέτοις τῆς Εὐρωπαϊκωῖς Ἑλλάδος ἄκροις, ἐν Πύλῳ καὶ Θεσσαλίᾳ, ἡγεμονεύοντες (Ὁμ. Ὀδύσ. Λ, 235 κτέ, καὶ 281.). καὶ ὁ Αἰολικὸς δὲ σχηματισμὸς τῶν ὀνομάτων τῶν ἀρχαιοτάτων τῆς Λακεδαίμονος καὶ τῆς Μεσσηνίας πρωτευουσῶν πόλεων, Ἀμύκλαι, Στενύκλαρος, Ἀνδανία, δείκνυσιν αὐτὰς χωρία εἶναι, ἐν οἷς τοὺς ἑαυτῶν συλλόγους οἱ Αἰολεῖς ἐποιοῦντο, καὶ οἱ ἡγήτορες καὶ μέδοντες αὐτῶν ἧδρευον.

1) Ὅρα Ἡσιόδου Ἀποσπάσμ. 8. σελ. 278, ed. Marckscheffel.

2) Ὅρα Orchomenos und die Minyer v. K. O. Müller. — Ἐν Βοιωτίᾳ χρονίζουσιν οἱ μετανάσται Αἰολεῖς, οἷα ἐν χώρᾳ εἴπερ τις καὶ ἄλλη Αἰολικῇ, συλλέγουσι δὲ καὶ ἄλλους Αἰολεῖς. ὅρα Grote, I, 404 καὶ 405.

3) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 75 καὶ 76, καὶ Bernhardy's Grundr. d. gr. Litt. I, 241—244. 4) Ὅρα βιβλ. I, 12. 5) βιβλ. IV, 42.

6) Παράβαλε τοῦ αὐτοῦ βιβλ. III, 102. ὅρα καὶ Στρ. σ. 464. Ἡσύχ. ἐν φράσει ‛Αἰολικὸν θέαμα.’

7) Ὅρα Vellejum Patercul. I, 2, 3. Χάρακα. π. Στεφ. Βυζ. ἐν λ. Δώριον καὶ Πολύαιν. VIII 44. — Ἡρόδοτός φησι (VIII, 176.) Θεσσαλὸν τὸν τοῦ πρώτου Θεσσαλοῦ τοῦ Ἡρακλέους δυσέκγονον (ὅρα Ὁμ. Ἰλ. Β, 679.) ἄγοντα ἐκ Θεσπρωτίας στίφη πολεμικά, ὑπερβῆναι τὸν Πίνδον

τοῦτο μὲν κατὰ Θουκυδίδην ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν ἐγένετο, ἡ δὲ χώρα τὸ πρὶν Αἰολὶς ἐκαλεῖτο. καὶ ὁ μὲν Θουκυδίδου καὶ τῶν ἄλλων συγγραφέων πρεσβύτερος Ὅμηρος οὐ ποιεῖται μνείαν τῶν Αἰολέων ἐν τῷ τῶν Νεῶν Καταλόγῳ καὶ τοῖς ἄλλοις ἔπεσιν· ἐπεὶ δ' ὁ Ποιητής, καί περ ἔχων καὶ τὴν τοῦ ἱστορικοῦ ἰδιότητα, οἷά περ ἐν κοινωνίᾳ βιῶν, ὡς ἄλλοθί ποθι εἴρηται, ὅμως ὁρᾷ πανταχοῦ, ποιητὴς ἑτέρωθι ὤν, Ἀχαιούς, οἳ συνιστάντες ἐν τῷ τότε τὴν ὑπέροχον, τὴν ἐν τῷ Ἑλληνικῷ λαῷ μερίδα τῶν εὐπατριδῶν, οἱ ἥρωες αὐτοῦ εἰσιν, οὐχ οἷόν τ' ἐστιν τούτοις τεκμήρασθαι ὅτι ὁ τότε καὶ ὁ πρὶν ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι λαὸς οὐκ ἦν Αἰολικός, τοσούτων καὶ τηλικούτων πειστικῶν τεκμηρίων ὄντων [1]).

§ 43. Ἀλλὰ τὴν ἐπὶ πάσης τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ὕπαρξιν τῶν Αἰολέων πρὸ τῶν Τρωϊκῶν καὶ ἐπ' αὐτῶν δεικνῦσιν ἐνδηλότερον οἱ τέσσαρες κυριώτεροι κλάδοι τῆς διαλέκτου αὐτῶν, ὁ Θεσσαλικός, ὁ Βοιωτικός, ὁ Ἀρκαδικός, ὁ Ἠλιακός, οὐ μὴν ἀλλὰ καὶ ὁ τῶν ἐν Μικρασίᾳ μεταναστῶν Αἰολέων καὶ ὁ Κυπριακός [2]). αἵ χῶραι δέ, ἐν αἷς Αἰολιστὶ ἐφθέγγοντο, τὸ πλεῖστον τῆς Εὐρωπαϊκῆς Ἑλλάδος συνίστασαν, καὶ αἱ εὐρύτεραι καὶ εὐφορώτεραι αὐτῆς πεδιάδες εἰσίν. ἡ ἐν αὐταῖς δὲ φθεγγομένη διάλεκτος οὐκ εἶχε μὲν στερεὸν τὸν χαρακτῆρα καὶ ὡρισμένον τὸν τύπον [3]), ὡς ἡ τῶν Ἰώνων καὶ τῶν Δωριέων, ἀλλ' αἱ τῇδε κἀκεῖσε ὑποδιαιρέσεις αὐτῆς δοκοῦσι λείψανά τινα εἶναι γλώσσης κοινῆς ποτε ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι οὔσης, τῆς τῶν Γραικῶν Πελασγῶν, ἃ παραλλάσσει μὲν ἀλλήλων τῆς ποικιλίας ἕνεκα τοῦ ἐδάφους καὶ τῶν ἐκ τοῦ χρόνου ποικίλων περιστάσεων, οὐ γὰρ ἔχουσιν ἐν ἀλλήλοις τὴν ὁμοιότητα τὴν ἐν ταῖς τῆς Δωρικῆς καὶ τῆς Ἰωνικῆς ὑποδιαιρέσεσιν ὁρωμένην, ἀλλ' ὅμως γε φέρουσιν ἐν ἑαυτοῖς ἰδιωτισμούς, οἵ περ οὔτε τῇ Ἰωνικῇ, οὔτε τῇ Δωρικῇ διαλέκτῳ ἀνάγονται, ἀλλὰ συνιστᾶσιν ἐν τῇ μεγάλῃ ποικιλίᾳ ἑνότητα, αἳ δὲ γραμμαί, αἷς τὰ ποικίλα, ἀλλ' ὁμογενῆ ταῦτα συνάπτεται στοιχεῖα, τὴν Αἰολικὴν ποιοῦσι διάλεκτον [4]).

κατὰ τοὺς Γομφοὺς καὶ τοὺς λαοὺς (Περραιβούς, Αἰνιᾶνας, Δωριεῖς, Μάγνητας, Βοιωτοὺς καὶ τοὺς ἄλλους) τῆς χώρας τῆς ἀπ' αὐτοῦ Θεσσαλίας κληθείσης ὑποτάξαι. ὅρα καὶ E. Curtius gr. Gesch. I, 86 καὶ 87.

1) Καὶ τοῦ Ἰώνων ὀνόματος ἅπαξ ὁ Ποιητὴς μνείαν ποιεῖται (ἐν Ἰλ. N, 685), δὶς δὲ τοῦ τῶν Δωριέων· τὸ κλέος γὰρ τῶν ἐν τοῖς Αἰολεῦσιν ἐκείνοις ἡρώων ἀνδρῶν, τῶν προγόνων τῶν ἤδη ἐν Μικρασίᾳ ἐκ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος μεταναστῶν βούλεται ᾆσαι, οὗτοι δὲ οἱ Ἀχαιοί, οἱ ἐν ἐκείνοις εὐπατρίδαι ἦσαν.

2) Τὸ μέγα ἔργον τοῦ καθηγητοῦ Βοικχίου (Boekh, Corpus inscriptionum) διαχέει ὅσον οἷόν τε φῶς ἐπὶ τῆς σπουδαίας ταύτης τῆς τε Ἑλληνικῆς γλώσσης καὶ ἱστορίας ὑποθέσεως.

3) Ὁ καθηγητὴς Ἄρην (Ahrens, de Dialecto Aeolica) ἔδειξεν, ὅτι οἱ ἀρχαῖοι Γραμματικοὶ ἐθεώρησαν γενικοὺς τῆς Αἰολικῆς ἰδιωτισμοὺς τοὺς ὁρωμένους καὶ ἰδιάζοντας μόνῃ τῇ Λεσβίᾳ ὑποδιαιρέσει, καὶ δὴ τοῖς Ἀλκαίου καὶ Σαπφοῦς ποιήμασιν. οἱ Βοιωτοὶ Αἰολεῖς χρῶνται τῷ δυϊκῷ, οἱ δὲ Λέσβιοι συγγραφεῖς οὔ.

4) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 23–24.

§ 44. Τοῖς ἤδη λεχθεῖσι δῆλον γίγνεται, ὅτι οἱ ἐπὶ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος λαοὶ Αἰολεῖς κοινῶς ἐκαλοῦντο, ἐξ ὅτου περ αἰῶνας πρὸ τῶν Τρωϊκῶν τὸ τῶν Πελασγῶν ὄνομα ἀχρηστίᾳ περιέπεσεν, οἱ δ' Αἰολεῖς τὴν θέσιν αὐτῶν κατέσχον, τὴν ἐν ταῖς δυτικαῖς τοῦ Αἰγαίου παραλίαις καὶ τοῖς μεσογείοις, τῶν Ἰώνων ἐν ταῖς κατεναντίον, ταῖς ἀνατολικαῖς οἰκούντων [1]). ὀψὲ δὲ μοῖρά τις μικρὰ τῶν Αἰολέων τούτων πρωταγωνιστήσασα ἐν αὐτοῖς καὶ ταῖς κοινωνικαῖς περιστάσεσιν ἐξαρθεῖσα, ἰδίαν φυλὴν καὶ διάλεκτον συνεστήσατο, τὴν Δωρικήν [2]), ὃ γένοιτ' ἂν καὶ τοῖς ἄλλοις τοῖς ἐκ Θεσσαλίας Βοιωτοῖς Αἰολεῦσιν, εἰ ἐπεκράτουν ὡς οἱ Δωριεῖς, ἢ ὡς τοῖς Ἀθηναίοις ἐγένετο, ἐκ τῆς Ἰωνικῆς τὸ Ἀττικὸν ἰδίωμα διαμορφώσασι καὶ τὸ Ἀττικὸν στοιχεῖον ἀποτελέσασι.

§ 45. Τὸ ὄνομα δὲ τῶν νεωτέρων τούτων Γραικῶν Πελασγῶν ἔσχε τὴν ἀρχὴν δήπου ἀπό τινος Αἰόλου, εἰ μὴ ἀπὸ τοῦ παραδιδομένου τοῖς ποιηταῖς καὶ τοῖς λογογράφοις πατριάρχου. εἰ γάρ, ὥς φησι Κλίντων ἐν τῇ τρισσῇ τῶν γενεαλογικῶν ὀνομάτων διατάξει [3]), παραδεξόμεθα, ὅτι πολλὰ αὐτῶν ἐξ ὀνομάτων λαῶν ἢ χωρῶν κατὰ προσωποποιΐαν ὀνόμασιν ἡρώων μηδόλως ὑπαρξάντων ἐτράπη, ἢ πολλὰ ἀρχῆθεν ἐπλάσθη, ἐπειγόμεθα αὖ φύσει, ἡρωά τινα, οἷά περ βάσιν νοῆσαι, οὗ τῷ ὀνόματι ἐκλήθη λαός τις ἢ χώρα. φυσικῷ δὲ λόγῳ ἐν τοῖς παναρχαίοις ἐκείνοις χρόνοις ἑκάστη τῶν μικρῶν κοινοτήτων τὴν κλῆσιν εἶχεν ἢ ἀπὸ τοῦ ὑπερέχοντος ἐν αὐτῇ σωματικοῖς ἢ πνευματικοῖς πλεονεκτήμασιν, ἤ τοι ἀπὸ τοῦ παραδιδομένου πρώτου γενάρχου, διὸ καὶ Ἀριστοτέλης φησί, 'γένος λέγεται τὸ μὲν . . . τὸ δέ, ἀφ' οὗ ἂν ὦσι πρώτου κινήσαντος εἰς τὸ εἶναι. οὕτω γὰρ λέγονται οἱ μὲν Ἕλληνες τὸ γένος, οἱ δὲ Ἴωνες· τῷ οἱ μὲν ἀπὸ Ἕλληνος, οἱ δὲ ἀπὸ Ἴωνος εἶναι πρώτου γεννήσαντος' [4]). καὶ αὐτὰ δὲ τὰ γενικώτερα ὀνόματα, Πελασγοί, Κελτοί, Πέρσαι, ἔσχεν ἴσως τὴν ἀρχήν, ὡς φυλαὶ τὸ πρῶτον μικραὶ τοῦ αὐτοῦ γένους, ἐν τῇ παναρχαίᾳ ἐκείνῃ καὶ πρώτῃ κοιτίδι, τῇ μέσῃ Ἀσίᾳ, τρόπῳ τῷ εἰρημένῳ [5]). εἰ οὖν ὁ ὥς τις γενάρχης μᾶλλον ἢ ὥς τις θεὸς τοῖς ποιηταῖς τε καὶ τοῖς λογογράφοις περιγραφόμενος Αἴολος μὴ ἦν ὁ πρῶτος γεννήσας κοινότητά τινα Πελασγικὴν καὶ δοὺς αὐτῇ τὸ ὄνομα, ἕτερός γέ τις ἦν ἡγεμὼν ἐν Θεσσαλίᾳ, ὃς ὑπερέχων τῶν κατ' αὐτὸν ἄλλων Πελασγικῶν ἡγεμόνων, ἐξέτεινε κατὰ μικρὸν τὸ ἴδιον ὄνομα ἐφ' ὅλης τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ἢ ὅπλοις ἢ πνευματικῇ ὑπεροχῇ καὶ ἐπιγαμίαις μετὰ τῶν ἄλλων τότε ἡγεμονευόντων οἴκων, οὗ ἕνεκα συνυφάνθη τὸ ἀνὰ πᾶσαν τὴν ἐπιφάνειαν τῆς Ἑλληνικῆς γῆς τοῖς

1) Ὅρα καὶ Ἡρόδ. VII, 95, ὅς φησι τὴν τῶν Πελασγῶν γλῶσσαν ἐν ταῖς τῶν Αἰολέων καὶ τῶν Ἰώνων ἐνορᾶσθαι διαλέκτοις.
2) Στράβων φησὶ (VIII, 333 κτέ.), 'διὰ τὴν συμβᾶσαν ἐπικράτειαν'.
3) Ὅρα Klinton, Fasti Hellenici, I, 5, p. 109.
4) Ἐν Μεταφυσ. IV, 118. 5) Ὅρα καὶ ἔμπροσθεν § 11.

ποιηταῖς καὶ τοῖς λογογράφοις ἐφαπλωθὲν γενεαλογικὸν τῶν Αἰολιδῶν δίκτυον[1]).

§ 45b. Ἐκ τῶν Αἰολέων τούτων τῶν ἀνὰ πᾶσαν τὴν Εὐρωπαϊκὴν Ἑλλάδα, ὡς εἴρηται, ἐσκεδασμένων, ἀπὸ τῶν Ὀλύμπου ὑπωρειῶν μέχρι Κρήτης καὶ Κύπρου, ἔχουσι τὴν ἀρχὴν τοῦ γένους οἱ ὑφ' Ὁμήρου περιαδόμενοι Ἀχαιοί. οὗτοι ὅμως οὐδέποτε συνεστήσαντο ἐν Ἑλλάδι ἴδιον λαὸν ἢ φῦλον, εἰ μὴ ἐν μικρᾷ τινι μοίρᾳ ἐν Φθιώτιδι, περὶ ἧς ἐροῦμεν· δι' ὃ οὔτ' Ἀχαϊκὴ διεσώθη καὶ διεκρίθη διάλεκτος, οὔτ' Ἀχαϊκὰ νόμιμα, τέχνη καὶ φιλοσοφία. Ἀχαιοὶ ἐκλήθησαν ὑσρέρῳ χρόνῳ οἱ εὐπατρίδαι, οἱ ἡγεμόνες καὶ ἄριστοι τῶν Αἰολέων, ἡ περιστάσεσιν εἰς ὕψος ὑπὲρ τοὺς πολλοὺς ἀρθεῖσα ἐξ αὐτῶν τάξις. ἑτέραις λέξεσιν οἱ υἱες Ἀχαιῶν τὴν ἀριστοκρατικὴν συνιστᾶσι τάξιν, ἥ ἐστιν ἔνθα περ καὶ Αἰολικὸς λαός, τουτέστιν ἀνὰ πᾶσαν τὴν Εὐρωπαϊκὴν Ἑλλάδα. οὕτως οἱ μὲν ἥρωες οἱ ἐπὶ θήραν τοῦ Καλυδωνίου κάπρου συνδραμόντες Μελέαγρος, Πηλεὺς καὶ Τελαμών, Ἰάσων, Θησεύς, Κάστωρ καὶ Πολυδεύκης, οἱ τότε νεανίαι ἔτι Φοίνιξ καὶ Νέστωρ, Ἀταλάντη ἡ Ἰάσου καὶ οἱ ἄλλοι Αἰολεῖς εἰσιν, οἱ δ' ἀπόγονοι τῶν ἐπιφανῶν καὶ περιβλέπτων τούτων Αἰολικῶν ἡρώων ἡ ὑσρέρῳ χρόνῳ ἀριστοκρατικὴ ἐν τοῖς Αἰολεῦσι τάξις εἰσιν, ἡ τῶν Ἀχαιῶν, οἷοι ὁ Ἀχιλλεύς, ὁ Αἴας, ὁ Διομήδης, ὁ Ἰδομενεύς, ὁ ἐν τρίτῃ ἤδη γενεᾷ ἀνάσσων Νέστωρ, ὁ Ὀδυσσεύς, οἱ Πηνελόπης Μνηστῆρες καὶ οἱ ἄλλοι. ὅτε Κάλχας ὁ Θεστορίδης φησὶν Ἀχιλλεῖ περὶ Ἀγαμέμνονος, 'ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί'[2]), οὐκ ἂν ποιήσειε τὴν ἔντονον διάκρισιν μεταξὺ Ἀργείων καὶ Ἀχαιῶν ταῖς λέξεσι 'κρατέει' καὶ 'πείθονται'[3]), ὧν ἡ μὲν σχέσιν ἄρχοντος πρὸς ἀρχομένους δείκνυσιν, ἡ δ' ὑπακοὴν καὶ σεβασμὸν πρὸς ὑπέρτατον ἡγεμόνα καὶ μέδοντα τῶν Ἑλληνικῶν λαῶν ὑπὸ τάξεως εὐπατριδῶν ἀπονεμόμενον, εἰ μὴ ἐκαλοῦντο ὁτὲ μὲν Ἀργεῖοι, ὁτὲ δὲ Δαναοὶ οἱ Ἑλληνικοὶ λαοὶ ἐκ τῶν ἐπικρατεστέρων τούτων κατοίκων τῶν ἀνατολικῶν τοῦ Ἀχαϊκοῦ Ἄργους[4]), ἔνθ' οἱ Περσεῖδαι πρὸ τῶν Πελοπιδῶν ἤκμασαν, Ἀχαιοὶ δ' οἱ μεγάλοι τε καὶ οἱ μικροὶ τῶν εὐπατριδῶν οἶκοι, οἳ τότ' ἔλαχον τῶν διαφόρων τῆς Εὐ-

1) Καί τὸ ὄνομα δ' Αἴολος, ἐκ τοῦ ἐπιθέτου προφανῶς αἰόλος (= εὐκίνητος, εὔστροφος, κοῦφος, ταχύς), δείκνυσι ῥέκτην τινὰ καὶ ἐπιχειρητὴν ἄνδρα.

2) Ὅρα Ὁμ. Ἰλ. Α, 70—80.

3) Ὅρα τοιαύτας διακρίσεις καὶ ἀλλαχόθι, ὡς ἐν Ἰλ. Α, 15 καὶ 16, 237, 238. Γ, 167, 226 καὶ 227. ἐν Ὀδυσ. Α, 394, 401. Β, 87, 90, 106, 112, 115. Σ, 301.

4) Τὰ ἐθνικὰ Δαναοὶ καὶ Ἀργεῖοι σύμπαντα παρ' Ὁμήρῳ τὸν Ἑλληνικὸν στρατὸν σημαίνει (ὅρα Ἰλ. Α, 42 καὶ ἀλλαχόθι)· τὸ δ' Ἀχαιοὶ τοὺς ἄνακτας καὶ μέδοντας, τοὺς εὐπατρίδας, ἐκ τοῦ ἐπικρατεστέρου δὲ τούτου συνεκδοχικῶς καὶ ἅπαντα πολλάκις τὸν στρατόν. ὅρα Ἰλ. Ι, 521 καὶ 522, 641 καὶ 642.

ρωπαϊκῆς Ἑλλάδος χωρῶν ἄρχοντες[1]). ἐκ τῶν χωρίων οὖν τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας, ἔνθα εὕρηται τὰ ὀνόματα Ἀχαιοί, Ἀχαιός, Ἀχαϊκός, Ἀχαιή, Ἀχαιΐς, Ἀχαιΐας[2]) οὐ δεῖ νοεῖν ὡς οἱ Ὁμήρου Ἀχαιοὶ συνίστασαν λαόν, οἷά περ οἱ Αἰολεῖς ἢ οἱ Πελασγοί, ἢ φυλήν, οἵα ἡ τῶν Ἰώνων, τῶν Δωριέων καὶ τῶν ἐν τοῖς ἱστορικοῖς χρόνοις Αἰολέων. δεῖ δ', ὡς ἡγοῦμαι, νοεῖν ὡς ἐπὶ τῶν Τρωϊκῶν καὶ πρὸ αὐτῶν ἔτι ὁ Ἑλληνικὸς λαὸς ἀπὸ τῆς Πελασγικῆς εἰς τὴν Αἰολικὴν μετεβεβήκει κατάστασιν, διαιρούμενος τοὐντεῦθεν εἰς Περραιβούς, Μάγνητας, Μυρμιδόνας, Δόλοπας, Αἰτωλούς, Φωκεῖς, Λοκρούς, Ἄβαντας, Βοιωτούς, Μυκηναίους ἢ Ἀργείους, Ἀρκάδας, Πυλίους, Ἐπειούς, Κεφαλλῆνας, Ἰάονας, Κρῆτας[3]) καὶ τοὺς ἄλλους[4]). καὶ τὸ ἐθνικὸν δ' Ἀργεῖοι καὶ Δαναοὶ τοῖς προτρωϊκοῖς κυρίως ἀνήκει χρόνοις, τοῖς τῶν Περσειδῶν· ἀλλ' ἐπεὶ ἡ Περσέως, Εὐρυσθέως καὶ Ἡρακλέους χώρα καὶ πρότερον ὑπὲρ πᾶσαν ἄλλην ἤκμασε καὶ νῦν ἐν αὐτῇ τὴν διατριβὴν ποιεῖται τὸ τῶν Πελοπιδῶν γένος, ὁ Ποιητὴς χρῆται καὶ τούτῳ, καθ' ἅπερ καὶ τῷ Ἀχαιοί, κατὰ προτίμησιν, δηλῶν τῷ μὲν σύμπαντα τὸν Ἑλληνικὸν λαὸν καὶ στρατόν, τῷ δὲ τοὺς ἡγήτορας καὶ μέδοντας αὐτοῦ, καθ' ἅπερ εἴρηται.

§ 46. Καίτοι δ' οὐκ ἔστι τοὺς Ἀρχαιοὺς νοεῖν ὥς τινα λαὸν ἢ φυλήν, δόντας τὸ ἴδιον ὄνομα καὶ τοῖς ἄλλοις καὶ ἑαυτοὺς ἐπιβαλόντας αὐτοῖς τῇ τῶν ὅπλων δυνάμει ἢ τῇ πνευματικῇ ὑπεροχῇ, ὡς οἱ προεκτεθέντες Αἰολεῖς ἢ οἱ λεχθησόμενοι Ἕλληνες τῆς Φθίας καὶ οἱ Δωριεῖς, ἀλλ' ὅμως γε δοκεῖ ὑπάρξαι μέρος τι τῆς Εὐρωπαϊκῆς Ἑλλάδος, ἐν ᾧ πρότερον μὲν ἀριθμῷ τινι ἀνθρώπων τὸ ὄνομα τοῦτο ἐξενίκησεν ἀπό τινος ἀρχηγέτου οὕτω καλουμένου καὶ ἐν αὐτῷ ἀκμάσαντος, μεταδόντος δὲ τοὔνομα ὡς ὁ Αἴολος τοῖς Αἰολεῦσι, καὶ ὁπόθεν ἐξετάθη ἐπὶ τῶν ἄλλων ἐν Ἑλλάδι οἴκων τῶν εὐπατριδῶν[5]). τὸ μέρος δὲ τοῦτο δοκεῖ αὖθις εἶναι αὐτὴ αὕτη ἡ ἑστία τῶν Πελασγικῶν καὶ τῶν Αἰολικῶν λαῶν, ἰδίως δὲ τὰ Θεσσαλίας μεσημβρινὰ τὰ μέχρι Θερμοπυλῶν προήκοντα· ἐμφανῶς γὰρ ἡ λέξις Ἀχαιοὶ ἐν Ἰλιάδος Β (στ. 681) σημαίνει λαὸν σταθερῶς ἐν μοίρᾳ τινὶ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος οἰκοῦντα· ἐνταῦθ' ὁ Ποιητὴς διεξιὼν τὰ περὶ τῆς ἐκτάσεως τῆς Ἀχιλλέως ἡγεμονίας φησί,

1) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 134.

2) Ἐν 746 περίπου χωρίοις.

3) Περὶ λαοῦ Κρητῶν ὅρα Ἰλ. Β, 645. Γ, 230. Δ, 251 καὶ 265. Ψ, 482. Ὀδύσ. Ζ, 205, 234, 382.

4) Ὅρα τὴν Β ῥαψῳδίαν τῆς Ἰλιάδος. περὶ δὲ τῶν λαῶν τῶν ἐν τοῖς Πελασγικοῖς χρόνοις ὅρα ἔμπροσθεν § 34.

5) Τὸ ὄνομα Ἀχαιοὶ δηλοῖ, ὥς τινές φασι, τοὺς ἀρίστους, εὐγενεῖς, εὐπατρίδας. ὅρα περὶ τούτου Schömann's gr. Alterth. I, 7, ἐν ὑποσημειώσει.

'Νῦν αὖ τούς, ὅσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον,
οἵ τ' Ἄλον, οἵ τ' Ἀλόπην οἵ τε Τρηχῖν' ἐνέμοντο,
οἵ τ' εἶχον Φθίην ἠδ' Ἑλλάδα καλλιγύναικα,
Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί,
τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς.'

ἐν τοῖς ἐκτεθεῖσι στίχοις δοκεῖ, ὡς ἡγούμεθα, τὸ μέρος τοῦτο τῆς προσαρκτίου Ἑλλάδος, ἡ ἀπὸ τῶν ὀρεινῶν Αἰνιάνων καὶ Περραιβῶν Θεσσαλία δυσὶ νομοῖς διῃρεῖσθαι, τῷ τοῦ Πελασγικοῦ Ἄργους τοῦ ἀπὸ τῆς ἐριβώλακος Λαρίσσης ἀρχομένου καὶ μέχρι τῶν βορείων Ὄθρυος ὑπωρειῶν προήκοντος, καὶ τῷ μέχρι Θερμοπυλῶν καὶ τῶν βορείων Οἴτης ἀποληγοντι, περιλαμβάνοντι δὲ σὺν τῇ Ἄλῳ, τῇ Ἀλόπῃ, τῇ Τρηχῖνι, τῇ Φθίᾳ καὶ τῇ Ἑλλάδι τὸ ὄρος Ὄθρυν. οἱ τοῦ δευτέρου τῶν νομῶν τούτων κάτοικοι ἐκαλοῦντο, ὥς φησιν ὁ Ποιητής, Μυρμιδόνες, Ἕλληνες καὶ Ἀχαιοί. καὶ τὸ μὲν Μυρμιδόνες τὴν πολεμικήν, ὡς ἴσμεν, τοῦ γνησιωτέρου καὶ ἀλκιμωτέρου ἐν τοῖς Ἀχαϊκοῖς ἡγεμόσι καὶ ἥρωσι ἐξαιρέτως δείκνυσι δύναμιν· ὡς κατοίκους δὲ τῆς Φθίας, ἥ μοῖρά τις τῆς κατὰ τὴν Ὁμηρικὴν γεωγραφίαν[1]) τότε καλουμένης Ἑλλάδος ἦν, οἷόν τ' ἦν τοὺς Μυρμιδόνας καὶ Ἕλληνας ὀνομάζεσθαι· τῷ δὲ τρίτῳ ὀνόματι, τῷ Ἀχαιοί, ᾧπερ χρῆται ὁ Ποιητής, ὡς ἐν πολλοῖς εἴρηται, πρὸς δεῖξιν τῶν ἡγεμόνων, ἀνάκτων καὶ εὐπατριδῶν, ἔστιν ὅτε δὲ καὶ σύμπαντος τοῦ Ἑλληνικοῦ οτρατοῦ, οὐκ ἐβούλετό γ' Ὅμηρος παραστῆσαι τοὺς κατὰ τὴν Εὐρωπαϊκὴν Ἑλλάδα πᾶσαν Ἀχαιοὺς (ἀνεξήγητον γὰρ ἂν ἦν καὶ ἀσύμβλητον ὅ, τι ποτ' ἐβούλεπο τούτῳ νοῆσαι, πάντων τῶν Ἑλλήνων κατὰ τὴν ἰδίαν ἑαυτοῦ ἔννοιαν ὄντων Ἀχαιῶν καὶ πάσης ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι χώρας Ἀχαϊκῆς), ἀλλὰ σημῆναι ὡρισμένως τοὺς Φθίας κατοίκους καὶ περιοίκους, οἳ ἰδίως Ἀχαιοὶ ἐκαλοῦντο. μέρος οὖν τῆς Θεσσαλίας αὖθις, τὸ μεταξὺ Ὄθρυος καὶ Οἴτης εὔφορον πεδίον ἐστὶν ἑστία καὶ τῶν πρώτον κληθέντων Ἀχαιῶν, ὥς περ ἄλλοτ' ἐν αὐτῷ τούτῳ οἱ Πελασγοὶ καὶ οἱ Αἰολεῖς ἤκμασαν[2]). οὕτω δὲ καὶ πρώτων Ἀχαιῶν τῶν τῆς Φθίας κατοίκων ὄντων, ἐρευνήσομεν ὁπόθεν τὴν κλῆσιν ἔσχον.

§ 47. Ἐν τοῖς ἀνωτέρω εἴρηται ἡμῖν ἐν παρόδῳ, ὅτι ἡγεμών τις Αἰολικός, Ἀχαιὸς τοὔνομα, ἀρχηγέτης ἐν Φθίᾳ γένοιτο οἴκου, ἀπ' αὐτοῦ Ἀχαϊκοῦ ἐπικληθέντος. σκοποῦσι δ' ἡμῖν τὰς τοῖς Ἀλεξανδρεινοῖς διασωθείσας γενεαλογικὰς τῶν

1) Ὅρα Ἰλ. Ι, 447, 478—480. Κ, 266 καὶ 267. Ὀδύσ. Α, 344. Ο, 80. ἐν τοῖς στίχοις τούτοτς τῆς Ὀδυσσείας τῷ μὲν 'μέσον Ἄργος' δείκνυται σαφῶς τὸ τότ' ἐκ τῆς μεγάλης τῶν Πελοπιδῶν δυνάμεως ἀκμάζον Ἀχαϊκὸν Ἄργος, ἡ Πελοπόννησος· τῷ δὲ 'καθ' Ἑλλάδα' καὶ 'ἀν' Ἑλλάδα', τὸ Πελασγικὸν Ἄργος, ἡ Θεσσαλία μέχρις Ἀττικῆς, οὗ μέρος ἦν ἡ Πηλέως καὶ Ἀχιλλέως καὶ Μυρμιδόνων χώρα, ἡ Φθία. σημειωτέον δ' ὅτι ἴσως τῷ, ''Ἑλλάδα καλλιγύνκαια', δείκνυται μόνον ἡ πόλις Ἑλλὰς ἡ μεταξὺ Ὄθρυος καὶ Οἴτης κειμένη, οὕτω δ' αὖ δυνατὸν καλεῖσθαι καὶ Ἕλληνας τοὺς Μυρμιδόνας ἐκ τῆς ἐπικρατούσης ταύτης πόλεως.

2) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 77 και 78, καὶ Grote, I, 397.

λογογράφων παραδόσεις δοκεῖ ὑπάρξαι τινὰ Ἀχαιόν. ἀλλ' οὗτος, ὡς αὐτῶν οἱ πλεῖστοί τε καὶ βέλτιστοί φασιν, οὐκ ἦν τῶν ἐπωνύμων ἡρώων Αἰόλου καὶ Δώρου ἀδελφός, ἀλλ' ἀδελφιδοῦς ἐκ Ξούθου, Ἴωνος δὲ μόνον ἀδελφός[1]). αἱ γενεαλογικαὶ αὗται διηγήσεις καίτοι γε διαφωνοῦσιν ἐν πολλοῖς ἀλλήλαις καὶ ἐπικλήσεις φύλων καὶ χωρῶν εἰς ἀρχηγέτας γενῶν ἀνάγουσι, συγγενεῖς πλησίους αὐτοὺς ἡμῖν παραδιδοῦσαι πρός τε συμβολικὴν παράστασιν τῆς ἀδελφότητος καὶ ὁμογενείας τῶν πρώτων τῆς Ἑλλάδος κατοίκων, καὶ πρὸς ὁρισμὸν χρονικοῦ σημείου, ὅπως ἂν ὡς ἐξ ἀφετηρίας κατέλθωσι προβαίνουσαι γενεαλογικῶς εἰς τούς χρόνους τοὺς ἱστορικούς, ἀλλ' οὖν γ' ἑτέρωθι πυρῆνα ἱστορικῆς ἀληθείας ὑποκρύπτουσι, πᾶν γὰρ παραδιδόμενον οὐκ ἔστι ψευδές, ἀλλὰ τἀληθὲς ἐκ τῆς τῶν χρόνων παρόδου, ἢ ἔγγραφον ἤτοι προφορικόν, πλάσμασι συμφύρεται. οὕτως οὖν ἑπόμενοι τῷ κανόνι, ὃν ἄλλοθί ποθι παρεδεξάμεθα, καὶ εἰ μή ἐστι τῶν Ἀχαιῶν τούτων ὁ ἀρχηγέτης ὁ παραδιδόμενος ἡμῖν ὑπὸ τῶν συγγραφέων Ἀχαιός, ἦν τις οὐδὲν ἧττον ὑπερέχων τῶν κατ' αὐτὸν ὁμοφύλων οὕτω καλούμενος, ἀφ' οὗ περ οὗτοι Ἀχαιοὶ ἐκλήθησαν. ἐπεὶ δ' οὗτοι διέπρεπον τῶν ἄλλων τοῖς ἔργοις τοῖς πολεμικοῖς, ἔθος ἐπεκράτησε πάντας τοὺς περὶ ταῦτα διατρίβοντας, ὡς τοῦτό γε τοῖς τότε ἡγεμόσι καὶ εὐπατρίδαις ἐγίγνετο, Ἀχαιοὺς ὀνομάζεσθαι[2]). μὴ ἔχοντες δ' ἕτερα βοηθήματα πρὸς πορισμὸν εἰ μὴ τῆς ἀληθείας, ἀλλ' οὖν γε πιθανότητός τινος, ἢ τὰς παραδόσεις ταύτας, πορίζόμεθα ἀπ' αὐτῶν, ὅτι Αἴολος καὶ Δῶρος ἀδελφοὶ τὰ πολλὰ περιγραφόμενοι ἐπώνυμοι Αἰολέων καὶ Δωριέων εἰσίν, ὁ δ' ἀδελφιδοῦς αὐτῶν Ἴων, ἐπώνυμος τῶν Ἰώνων, ὁ δ' Ἀχαιὸς μὴ ὢν ἀδελφὸς τῶν δύο πρώτων, ὧν αἱ ἐπώνυμοι φυλαὶ ἐπὶ τῆς Εὐρωπαϊκῆς βιοῦσιν Ἑλλάδος, ἀλλ' ἢ ἀδελφιδοῦς ἐκείνων ἢ τοῦ ἐπωνύμου τῶν Μικρασιανῶν Ἑλλήνων ἀδελφός, δείνυσιν, ὡς ἔγω γ' οἶμαι, εἰ δεῖ τούτοις τι τεκμαίρεσθαι, ὡς οὔ ποτ' Ἀχαϊκὸν φῦλον ὑπῆρξεν, ἀλλ' ἥρως τις μόνον Ἀχαιὸς τοῦ Αἰακίδου Πηλέως πρόγονος, ὃν ἡ Φθιωτικὴ παράδοσις τῷ περιαδομένῳ ὑπὸ τοῦ Ποιητοῦ κλέει τῶν ἐπὶ τῶν Τρωϊκῶν Ἀχαιῶν ἀγομένη ἐποίει χρόνῳ ὑστέρῳ συγγενῆ τοῖς ἄλλοις φυλετικοῖς ἐπωνύμοις, παραδιδοῦσα αὐτὸν τοῖς μεταγενεστέροις ἀρχηγέτην φύλου μηδέποτ' ἐν Ἑλλάδι ὑπάρξαντος[3]).

§ 48. Ἐκθέντες ἐν τοῖς μέχρι τοῦδ', ὅτι ἐπὶ τῶν Τρωϊκῶν ἐκμεμορφωμένη ἦν ἤδη ἐν τοῖς ἀνὰ πᾶσαν τὴν Εὐρω-

1) Ὅρα Ἀπολλόδ. I, 7, 3 καὶ 4. Ἡσιόδου Ἀποσπάσμ. 8, 278, ed. Marcksch. Παυσ. VII, 1, 1—3. — Τούτοις διαφωνοῦσι Διονύσιος ὁ Ἁλικαρνασεύς, I, 17, καὶ Εὐριπίδης ἐν Ἴωνι 64 καὶ 1590, ὃς καὶ ἑαυτῷ ἀντιφάσκει. 2) Ὅρα ἔμπροσθεν ἐν § 46 τὴν 5 ὑποσημείωσιν.

3) Καὶ ἐν τοῖς Δικαιάρχου τοῦ περιπατητικοῦ χρόνοις (περὶ τὰ 320 π. Χ.) ἔλεγον οἱ Φθιῶται διαρκεῖν ἐν αὐτοῖς ἔτι τὸ λίαν τετιμημένον Δευκαλίωνος γένος, οὗ δισέκγονος Ἀχαιὸς ἐλέγετο γεγονέναι. ὅρα Cicero, Tuscul. Disp. I, 10.

παϊκὴν Ἑλλάδα οἰκοῦσιν Αἰολεῦσι, τῶν Γραικῶν Πελασγῶν ἀπογόνοις, τάξις εὐπατριδῶν, οἳ τῇ ἐπικλήσει Ἀχαιοὶ προσηγορεύοντο, ληφθείσῃ καὶ ὑφ' Ὁμήρου οἷά περ κλέα ἀνδρῶν ἡρώων περιᾴδοντός, φαμεν νῦν, ὅτι ἡ τάξις αὕτη ἐφ' οὕτω κοινωνικῆς, ὡς ἔοικε, προόδου ὑπὲρ τὴν πληθὺν τοῦ ὁμογενοῦς αὐτῇ λαοῦ προῆκεν, ὥστ' οὐ μόνον τὴν Πελοπόννησον (ἔνθ' ὁ κολοφὼν τοῖς ἐκ τῆς προσαρκτίου ἀεὶ Ἑλλάδος τὸ παλαιὸν τὴν ἀρχὴν λαμβάνουσι κοινωνικοῖς γεγονόσιν ἐπετίθετο, καὶ ἣ νῦν ἔβριθε τοιούτων ἡγεμονικῶν καὶ ἀριστοκρατικῶν οἴκων, ὧν προεξῆρχε τὸ μέγα τῶν Πελοπιδῶν γένος), Ἄργος Ἀχαϊκὸν πρὸς διαστολὴν τοῦ Πελασγικοῦ καὶ τῶν Φθιωτῶν Ἀχαιῶν καλεῖσθαι[1]), ἀλλὰ καὶ τοὺς ὀψὲ Δωριεῖς κατακτητάς, καὶ αὐτοὺς τοὺς αὐτῶν ἡγεμόνας, προγονικῶν παραδόσεων ἀποροῦντας, σπουδάζειν καὶ φιλοτιμεῖσθαι λαμπρότητι προγονικῇ περιβληθῆναι, οἵᾳ περ ἐν τῇ ἀρχαιότητι ἐκείνῃ τὸ ἡρωϊκὸν καὶ πλῆρες δόξης τῶν Ὁμηρικῶν Ἀχαιῶν ὄνομα ἐκοσμεῖτο[2]).

§ 49. Οὕτως ἐχόντων τῶν Ἀχαιῶν, τὸ γ' ἡμᾶς εἰδέναι, τέλος φαμὲν καὶ τοὺς ἐν Κρήτῃ ὑπὸ τοῦ Ποιητοῦ ἀναφερομένους τοιούτους εἶναι, οἷοί περ καὶ ἡ ἐν τῇ ἕδρᾳ τοῦ Ἀχαϊσμοῦ τούτου, τῇ Πελοποννήσῳ, δηλαδὴ εὐπατρίδας Αἰολεῖς, ὧν ὡς ἐκεῖ οἱ Πελοπίδαι, οὕτως ἐνταῦθα προεξῆρχον οἱ ἀπόγονοι, οἱ πλησιέστεροί τε καὶ ἀπώτεροι συγγενεῖς τοῦ μεγάλου οἴκου τοῦ Μίνωος, οἷοι ὁ Ἰδομενεύς, Ὀρσίλοχος ὁ υἱὸς αὐτοῦ[3]), Μηριόνης, ὁ ὑφ' Ἕκτορος φονευθεὶς Λύκτιος Κοίρανος[4]) καὶ οἱ ἄλλοι. Ἰδομενεὺς δ' οὐδὲν ἄλλο ἐστὶν ἢ τῶν πολλῶν Ἀχαϊκῶν ἡγεμόνων εἷς, ἡγεμονεύων Αἰολέων καλουμένων τῇ ποιητικῇ Ὁμήρου ἐννοίᾳ Δαναῶν καὶ Ἀργείων[5]), καὶ συγγενὴς τοῦ μεγίστου τῶν εὐπατριδῶν τούτων Ἀχαιῶν Ἀγαμέμνονος[6]). ταῦτα τεκμαίρεσθαι, ὡς ἡγούμεθα, δεῖ καὶ περὶ τῶν ἐν Κρήτῃ Ἀχαιῶν, εἰ παράδεκτος ἔσται ἡ ἐξήγησις τῆς ἐννοίας

1) Ἡ ἐν τοῖς ἱστορικοῖς χρόνοις Ἀχαΐα, τὰ βόρεια τῆς Πελοποννήσου, ἐκλήθη οὕτως ὑπὸ τῶν ἀπωσθέντων ἐκεῖσε ὑπὸ τῶν Δωριέων Ἀχαϊκῶν ἡγεμόνων, τοῦ Πελοπίδου Τισαμενοῦ καὶ τῶν ἄλλων, οἵπερ αὖθις ἐξέωσαν βίᾳ τοὺς τέως ἐν αὐτῇ καθεσταμένους Ἴωνας, μεταβάντας εἶτ' εἰς Ἀττικὴν καὶ Μικρασίαν. ὅρα Παυς. VII, 1—3. Πολύβ. II, 45 καὶ IV, 1. Στράβ. VIII, 383 καὶ 384. Διόδ. IV, 1. — Οἱ ἐν τοῖς ἱστορικοῖς χρόνοις Ἀχαιοί, καίπερ γειτνιάζοντες τοῖς Σικυῶνος καὶ Κορίνθου Δωριεῦσιν, οὔτε τέχνην ἰδίαν, οὔτε διάλεκτον Δωρικὴν ἢ Ἰωνικὴν/ἄρ' Αἰο- εἶχον· λικὴν παραπλησίαν γε ταῖς Αἰολικαῖς τῶν Αἰτωλοηλείων καὶ Ἀρκάδων διαλέκτοις. ὅρα καὶ ἔμπροσθεν § 43.

2) Ὅρα Grote, I, 397 καὶ Hoeck, II, 36 καὶ 37. παράβαλε καὶ E. Curtius gr. Gesch. I, 134.

3) Ὁμ. Ὀδύσ. N, 260.

4) Ὁμ. Ἰλ. P, 611.

5) Ὁμ. Ἰλ. Δ, 257—265, καὶ ἔμπροσθεν § 45.

6) Καθ' Ἡσίοδον (Σχολ. Ὁμ. Ἰλ. A, 7.) καὶ τοὺς Τραγικοὺς Ἀγαμέμνων τε καὶ Μενέλαος υἱοὶ τῆς Κρητικῆς Ἀχαΐδος ἦσαν Ἀερόπης τῆς Κατρέως πρωτοτόκου υἱοῦ Μίνωος, Δευκαλίωνος τοῦ Ἰδομενέως πατρὸς δευτεροτόκου ὄντος.

τοῦ ὀνόματος, ἣν καθ' ὅλου περὶ τῶν Ὁμηρικῶν Ἀχαιῶν ἐποιήσαμεν· ἐν γὰρ τοῖς περὶ τῶν πέντε λαῶν τῆς Κρήτης στίχοις, καθ' οὓς ἐν αὐτῇ οἰκοῦσιν 'ἐν μὲν Ἀχαιοί, ἐν δ' Ἐτεόκρητες κτἑ', ἐγνώσθη μήτε τινὰ παρενθήκην χειρὶ μεταγενεστέρᾳ γεγονέναι, μήτε ποιητικὸν ἀναχρονισμόν, καθ' ἅπερ προφανῶς ἐν τῷ ἑπομένῳ τρίτῳ στίχῳ ὁρᾶται, 'Δωριέες τε Τριχάϊκες' [1]), περὶ οὗ κατωτέρω τὰ εἰκότα λεχθήσεται.

§ 50. Τὰ δ' ὑφ' Οἰκκίου ἐκτεθέντα [2]) περὶ τὴς ὑπ' Ἄνδρωνος τοῦ Ἁλικαρνασέως καὶ Διοδώρου [3]) περιγραφομένης Δωρικῆς ἐκ Θεσσαλίας εἰς Κρήτην ὑπὸ Τεύταμον τὸν Δώρου μεταναστάσεως πρὸ αὐτοῦ ἔτι Μίνωος, ὅτ' ἐν τοῖς Ἕλλησιν οὐκ ἠκούετο τὸ παράπαν τὸ Δωριέων ὄνομα, ὑπὸ Μυλλέρου δ' ἀσπαζομένης [4]), ἀποδείκνυσι μὲν πολλῇ τῇ κρίσει καὶ ἀκριβείᾳ, ἐσωτερικοῖς τε καὶ ἐξωτερικοῖς λόγοις, ὅτι οὐκ ἐγένετό τι τοιοῦτον, ἄρ' οὔτε Πελασγοὶ καὶ Ἀχαιοὶ μετὰ Δωριέων εἰς Κρήτην ἀπέβησαν, εἰ μὴ οἱ μετὰ τὴν εἰς Πελοπόννησον τῶν Ἡρακλειδῶν κάθοδον, οἱ μὲν ὑπὸ Πόλλιν καὶ Δελφόν, οἱ δ' ὑπ' Ἀλθαιμένη καὶ ἄλλους ἐκ Πελοποννήσου μεταναστάντας Δωριεῖς καὶ ἑτέρους αὐτῆς ἐνοίκους, ἀλλ' ἐν τῷ αὐτῷ παρίστησι τὰ Οἰκκίου ταῦτα, ὡς οὔτ' Ἀχαιοὶ ἐν τῇ νήσῳ ποτ' ἐγένοντο, πλήν τῶν εἰρημένων [5]), καθ' ἅπερ Ἐτεόκρητες, Κύδωνες καὶ Πελασγοί, ἢ ὡς ἡμεῖς φαμεν ἐπὶ πάσης τῆς Εὐρωπαϊκῆς Ἑλλάδος τοὺς Ὁμηρικοὺς Ἀχαιοὺς γενέσθαι. ὁ συγγραφεὺς κρίνων [6]), ὡς καὶ οἱ ἄλλοι φιλόλογοι παλαιοί τε καὶ νεώτεροι, τοὺς δύο στίχους, ἐν οἷς οἵτε Ἀχαιοὶ καὶ οἱ Δωριεῖς μνημονεύονται, γνησίους Ὁμηρικούς, φησι ποιητικὸν γεγονέναι ἀναχρονισμόν, ὡς πράγματι ἔστιν ἰδεῖν τοῦτο ἐν τῷ περὶ Βοιωτῶν καὶ Ῥοδίων Δωριέων [7]). καὶ οὐδόλως μὲν ἀμφίβολον, ὅτι κατ' ἀναχρονισμὸν μνεία τῶν Δωριέων γίγνεται, ἐν σχέσει πρὸς τὴν κατάστασιν αὐτῶν ἐν τοῖς χρόνοις, ἐν οἷς ὁ Ποιητὴς ποιεῖ· ἀλλὰ περὶ Ἀχαιῶν, οὐ φαίνεταί τις λόγος, ἵνα, ὡς ἡμεῖς ἡγούμεθα, τούτῳ κρίνοντες καὶ αὐτοὺς ὡς ἀναχρονιζομένους θεωρήσωμεν, παντὸς τοῦ Ὁμηρικοῦ κόσμου πληρουμένου τούτου τοῦ ὀνόματος, καὶ Ἀχαιῶν ἐκ πάσης χώρας τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ἐπὶ Τροίαν στρατευόντων πρὸς ἐκδίκησιν τῶν Τρώων ἐπὶ τῇ ἐπενεχθείσῃ ὕβρει, Ἀχαιῶν δ' ὄντων μὴ μόνον Ἀγαμέμνονος, Μενελάου, Ἀχιλλέως, Ὀδυσσέως, Αἴαντος τοῦ Τελαμῶνος καὶ τοῦ Ὀϊλέως, Φιλοκτήτου,

1) Ὅρα Ὁμ. Ὀδύσ. Τ, 175.
2) Hoeck, II, 15—40, καὶ 417—447.
3) Ὅρα βιβλ. IV, 60, καὶ V, 80, καὶ Στεφ. Βυζ. ἐν λ. Δώριον.
4) Ὅρα Müller's Dorier, B. 1, C. 1, § 9. παράβαλε καὶ Grote, I, 411 καὶ 412.
5) Ὅρα τὴν ὑποσημείωσιν Hoeck, II, 38 καὶ 398, παράβ. καὶ Vorrede, XXI, XXIV, XXV.
6) Hoeck II, 17 καὶ 18.
7) Ὅρα Hoeck, II, 18 καὶ 19.

Πρωτεσιλάου, Θόαντος, Διομήδους καὶ Νέστορος, ἀλλὰ καὶ τῶν ἀνάκτων τῶν μικρῶν νήσων Σύμης, Νισύρου, Καρπάθου, Κάσου, Κῶ καὶ Καλύδνης Νιρέως, Φειδίππου καὶ Ἀντίφου[1]), πολλῷ γε μᾶλλον τούτων Ἀχαιοί εἰσιν οἱ Κρῆτες Ἰδομενεύς, Μηριόνης καὶ Κοίρανος. ὡς δ' ἕνεκα τῶν μετὰ Δωριέων συμμεταναστάντων εἰς Κρήτην Μινυῶν Πελασγῶν μετὰ τὴν Ἡρακλειδῶν κάθοδον οὐκ ἔξεστιν ἀρνήσασθαι παναρχαίαν ὕπαρξιν Πελασγῶν ἐν αὐτῇ καὶ θεωρεῖν καὶ τοὺς ἐν τῷ αὐτῷ στίχῳ, ἐν ᾧ καὶ οἱ Δωριεῖς, μνημονευομένους Πελασγοὺς ὡς ἀναχρονιζομένους ὑπὸ τοῦ Ποιητοῦ, οὕτω καὶ Ἀχαιῶν, οἵ περ οὐδὲν ἄλλο εἰσὶν ἢ τὸ ἐκ τοῦ ἐπικρατεστέρου στοιχείου ποιητικὸν παρ' Ὁμήρῳ ὄνομα τῶν νεωτέρων Πελασγῶν, τῶν Αἰολέων, διὰ μόνον τὸ μετασχεῖν τῆς μεταναστάσεως ἐκείνης σὺν τοῖς Δωριεῦσι καὶ Μινύαις Πελασγοῖς καὶ νεωτέρους ἐκ Πελοποννήσου Ἀχαιούς, ἐπιφανεῖς ἴσως ἄνδρας ἐν τῷ τόπῳ ὄντας καὶ φεύγοντας τὸν Δωρικὸν ζυγόν. μεταγενέστεροι συγγραφεῖς, οἷοι οἱ προλεχθέντες Ἄνδρων καὶ Διόδωρος, οὐδένα μὲν τῶν τριῶν τούτων λαῶν ἐθεώρουν ὑφ' Ὁμήρου ἀναχρονιζόμενον, οὐκ ὀρθῶς ποιοῦντες, ὅσον γε τὸ ἐπὶ τοῖς Δωριεῦσιν, ἀλλὰ κατῆγον αὐτοὺς σύναμα ἐκ Θεσσαλίας πρὸ τῶν Μίνωος ἔτι χρόνων, ὅτ' οὐ μόνον περὶ Δωριέων οὐδεὶς ἐν Ἑλλάδι λόγος ἦν, ἀλλ' οὔτε περὶ Ἀχαιῶν, οἱ δὲ Πελασγοὶ διεπεπεραίωντο εἰς τὴν νῆσον, οἷά περ εἴδομεν, ἐκ τῆς ἐγγὺς Πελοποννήσου καὶ ἐκ Μικρασίας, ἀλλ' οὐκ ἐκ βάθους τοῦ Αἰγαίου πελάγους, ἐκ τοῦ Πελασγικοῦ ἢ Παγασητικοῦ ἢ τοῦ Θερμαϊκοῦ κόλπου. οἱ λεχθέντες συγγραφεῖς ἢ ἔπραττον τοῦτο κατὰ λόγους ἰδίους[2]), ἤτοι ἀντέγραφον τὰς πεπλασμένας παραδόσεις ὑπὸ τῶν μετὰ τὴν Ἡρακλειδῶν κάθοδον ἐπηλύδων Δωριέων, Μινυῶν Πελασγῶν καὶ Ἀχαιῶν καὶ διατηρουμένας ὑπὸ τοῦ ἐκ τούτων συγκειμένου ἐν τῇ νήσῳ καὶ ἐπικρατοῦντος στοιχείου, βουλομένου ὡς οἱ πρόγονοι αὐτῶν ἐπήλυδες ἐκεῖνοι εἰς σχέσιν ἀεὶ ἄγειν ἑαυτό τε καὶ τὸ πολίτευμα καὶ τὴν ἐν τοῖς Δωριεῦσι καὶ τοῖς ἄλλοις νῦν ἐν Ἑλλάδι λαοῖς ἐν χρήσει Ἀπόλλωνος λατρείαν πρός τε τὸν Μίνωα καὶ τοὺς Πελασγοὺς αὐτοῦ καὶ πρὸς τοὺς Ἀχαιοὺς τοῦ Ὁμηρικοῦ Ἰδομενέως, τῶν παλαιῶν ἐν τῇ νήσῳ παραδόσεων τὸ παράπαν μήτε Δωριέων ἢ βασιλέως Τευτάμου μνείαν ποιουμένων ἐν τῷ γενεαλογικῷ μέρει, μήτε ἴχνος ὑποφαινουσῶν τοιούτου πολιτεύματος, ἐρειδομένου καθ' ὅλου, ὥς περ ἴσμεν, ἐπὶ τῶν σχέσεων ἐπελθόντων κατακτητῶν πρὸς κατακεκτημένους, οἷοί περ ἦσαν οἱ Ἡρακλεῖδαι καὶ οἱ Δωριεῖς πρὸς τοὺς ἐν Πελοποννήσῳ καὶ Κρήτῃ ἀρχαίους κατοίκους

1) Ὁμ. Ἰλ. Β, 671—681. παράβαλε καὶ Gladstone's hom. Stud. p. 8 καὶ 283.

2) Ὁ λογογράφος Ἄνδρων Ἁλικαρνασεύς ἐστι, δηλαδὴ Δωριεὺς τὸ γένος, διαφέρει δ' αὐτῷ ἡ διαβόησις παναρχαίας τῆς ἰδίας φυλῆς περιφανείας καὶ λαμπρότητος.

τοὺς τῇ θέσει τῶν Περιοίκων, τῶν Εἱλώτων καὶ τῶν Μνωϊτῶν περιπεσόντας. ὁποτέρως δ' ἂν ἔχῃ, οὐδόλως δείκνυσιν, ὥς τις ἀναχρονισμὸς ἐν τοῖς περὶ Πελασγῶν καὶ Ἀχαιῶν ἐστιν, ἀλλ' ὡς ἀνέκαθεν οὗτοι οἱ λαοὶ ἐν τῇ νήσῳ ᾤκουν, ἄλλως οὔθ' οἱ ὑπὸ τοὺς Ἡρακλείδας ἀρχηγοὺς Πόλλιν καὶ Δελφὸν καὶ Ἀλθαιμένη μεταναστάντες ἐκ Πελοποννήσου εἰς Κρήτην Δωριεῖς, Ἀχαιοὶ καὶ Μινύαι Πελασγοί[1]), οὔθ' οἱ αὐτῶν ἀπόγονοι δύναιντ' ἂν οἱ μὲν πλάττειν, οἱ δὲ διαφυλάττειν καὶ διαδιδόναι παραδόσεις τοιαύτας, οὔθ' οἱ λογογράφοι αὐταῖς εἰκῇ καὶ ἀπερισκέπτως χρῆσθαι, εἰ μὴ πράγματι οἱ Μίνωος ὑπήκοοι Πελασγοί, οἱ δ' Ἰδομενέως Αἰολεῖς, ἢ καθ' Ὅμηρον Ἀχαιοὶ ἦσαν[2])· ἀλλ' ἵνα ταῦτα καθ' ὅλου τοῖς πράγμασι συμφωνῇ[3]), ἔδει ἐν τῇ διηγήσει παρεμβληθῆναι, ὡς Δωριεῖς οἱ πρωτουργοὶ καὶ τῆς παναρχαίας ἐκ Θεσσαλίας εἰς Κρήτην μετανασάσεως εἴησαν, ὁδηγὸς δ' ἦν Τεύταμος ὁ Δώρου τοῦ Ἕλληνος, ἐν γὰρ τῇ ἱστορικῇ καὶ ἀληθεῖ ἐκ Πελοποννήσου μεταναστάσει Δωριεῖς τὸ κύριον αὐτῆς μέρος ἦσαν, οἱ δ' ἄλλοι, οἵ τε Μινύαι Πελασγοὶ καὶ οἱ Ἀχαιοὶ τὴν πληθὺν συνίστασαν. οἱ μετανάσται οὗτοι ἀποβαίνοντες εἰς Κρήτην διεδίδοσάν γ' ὡς παραγίγνοιντο πρὸς συγγενεῖς, πρὸς ἀπογόνους προγόνων κοινῶν τῶν ἐκ Θεσσαλίας καὶ Πελοποννήσου πάλαι ποτὲ Δωριέων καὶ Πελασγῶν καὶ Ἀχαιῶν, τοῦτο δὲ κατὰ πρόσχημα νομιμότητος καὶ δικαίου διὰ τὴν παρουσίαν αὐτῶν καὶ ἐν Κρήτῃ, ὅπως μὴ τύχοιεν ἀντιστάσεως παρὰ τοῖς ἐγχωρίοις, μέχρις ἂν στερρῶς ἐν τῇ τήσῳ κατασταῖεν· οὐκ ἀπεικότως· πάντες γὰρ οἱ λαοὶ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ἐκ τῶν αὐτῶν τὴν ἀρχὴν ἔχοντες τοῦ γένους, ἐκ τῶν Γραικῶν Πελασγῶν ἢ Αἰολέων, συγγενεῖς γε ἦσαν καὶ τὴν αὐτὴν γλῶσσαν ἴεσαν. ταύτας, ὡς ἔοικε, τὰς διαδόσεις στερεωθείσας διέσωζον οἱ μετὰ ταῦτα τὴς νήσου ἄρχοντες ἀπόγονοι τῶν ἐκ Πελοποννήσου ἐκείνων Δωριέων καὶ τῶν ἄλλων, αὐταῖς δ' ἐχρήσαντο συγγραφεῖς σύγχρονοί τε καὶ μεταγενέστεροι, ὅσον τοῖς σκοποῖς ἢ τῷ συστήματι αὐτῶν τῷ ἐν τῇ συγγραφῇ διέφερε, παρέχοντες καὶ τὸν Ὅμηρον μάρτυρα, ὃς μὴ φρονῶν γε

1) Ὅρα Hoeck, II, 417—447, καὶ Grote, I, 410—412. παράβαλε καὶ E. Curtius gr. Gesch. I, 144 κτἑ.

2) Ἄνδρων κατ' ἴχνη βαίνων πρὸς τοὺς Ὁμηρικοὺς ἐκείνους στίχους φησί, 'μετὰ Δωριέων τε καὶ Ἀχαιῶν καὶ Πελασγῶν'. Διόδωρος δὲ ταὐτὰ πραγματευόμενος, κατάγει σὺν αὐτοῖς καὶ Αἰολεῖς, ἐξ οὗ γ' αὖθις δείκνυται ἡ τοῦ Αἰολικοῦ λαοῦ ὕπαρξις ἀνὰ πᾶσαν τὴν Εὐρωπαϊκὴν Ἑλλάδα. ὅρα Διόδ. V, 80.

3) Πλὴν γὰρ Ἐτεοκρήτων καὶ Κυδώνων καθέσταντο τέως ἐν τῇ νήσῳ, καθ' ἃ ἐν τοῖς μέχρι τοῦδ' ἐδείξαμεν, καὶ Πελασγοὶ καὶ Ἀχαιοί· ἐπεὶ δ' αἱ μετὰ τὴν Ἡρακλειδῶν Δωρικαὶ εἰς Κρήτην μεταναστάσεις συνέκειντο οὐ μόνον ἐκ Μινυῶν Πελασγῶν καὶ Ἀχαιῶν αὖθις, ἀλλὰ καὶ Δωριέων, πρῶτον ἤδη ἀκουομένων ὑπὸ τῶν νησιωτῶν, ἔδει πλασθῆναι τὰ περὶ τῆς παναρχαίας ἐκείνης πρὸ αὐτοῦ ἔτι Μίνωος ἐκ Θεσσαλίας εἰς Κρήτην μεταναστάσεως, τῆς ἐκ Πελασγῶν δῆθεν καὶ Ἀχαιῶν καὶ Δωριέων συγκειμένης, ὅπως ἂν τὸ πλάσμα τοῖς νῦν πράγμασι συμφωνῇ.

τὰ τῶν μεταναστῶν ταύτων, οὐδὲν ἄλλο ἐποίησεν ἢ μνημονεῦσαι ἐν τῇ τοῦ τὸ σχῆμα τοῦ Κρητὸς Αἴθωνος ὑποκρινομένου Ὀδυσσέως ἀφηγήσει τῶν στοιχείων τῶν ἐπ' αὐτοῦ σινιστάντων τὸ ὅλον τοῦ Κρητικοῦ Λαοῦ, ὅτ' ἤδη, ὡς ἔοικεν, οὐ μόνον ἡ εἰς Πελοπόννησον εἰσβολὴ τῶν Δωριέων τετελεσμένη ἦν, ἄλλὰ καὶ ἡ ἐκεῖθεν εἰς Κρήτην αὐτῶν μετανάστασις, ὅπερ ἐν τῷ τοῦ Ὁμηρικοῦ Ὀδυσσέως στόματι φέρει μὲν τύπον ἀναχρονισμοῦ, ὅσον τὸ ἐπὶ τοῖς Δωριεῦσι μόνοις, ἀλλ' ὅμως, μὴ πλάττοντος δήπου τοῦ Ποιητοῦ ὅλως ἰδιανικὸν κόσμον, ἀλλ' ἀρυομένου ἐν τοιούτοις δὴ πράγμασι καὶ ἐκ τοῦ κοινωνικοῦ βίου, καὶ τὴν τῆς ἱστορίας σφραγῖδα.

§ 51. Περαίνοντος καὶ τὰ περὶ Ἀχαιῶν, πέραν ἴσως τοῦ δέοντος ἡμῖν ἐκταθέντα, συνοψίζομεν αὐτὰ ἐν τοῖς ἑξῆς·

Πρῶτον μέν φαμεν, ὅτι οἱ Ὁμηρικοὶ Ἀχαιοὶ οὐδὲν ἄλλο εἰσὶν ἢ οἱ ἐν τοῖς Αἰολεῦσι, τοῖς νεωτέροις καὶ ἱστορικωτέροις Γραικοῖς Πελασγοῖς, εὐπατρίδαι. πιθανὸν ὅτι ἐκ τῶν διαβοήτων καὶ πολυθρυλλήτων Αἰολικῶν εὐπατριδῶν, τῶν ἐν ταῖς Πελοποννησιακαῖς πόλεσι Μυκήναις καὶ Ἄργει, Σπάρτῃ καὶ Ἀμύκλαις, Στενυκλάρῳ, Ἀνδανίᾳ καὶ Πύλῳ Ἀχαιῶν, ἐξενίκησε τέλος ἐν τοῖς Ἕλλησιν ἐκ τοῦ ἐπικρατεστέρου τὸ ὄνομα Ἀχαιοὶ μίαν ἢ δύο γενεὰς πρὸ τῶν Τρωϊκῶν καὶ δὴ ἐπ' αὐτῶν εἰς ἐθνικὸν μεταπεσόν. ὁ Ὅμηρος, ὡς καὶ ἀλλαχόθ' εἴρηται, οὐ ποιεῖται μνείαν Αἰολέων, ἀλλ' Αἰολιδῶν, κλέα γὰρ ἀνδρῶν περιᾴδων, οὐ δεῖται τοῦ ὀνόματος τούτων, ἀλλὰ τοῦ τῶν ἀγωνιζομένων ἄριστα καὶ πρώτιστα ἔν τε τῇ τότε κοινωνικῇ καὶ πολιτικῇ σκηνῇ καὶ ἐν τῷ ποιητικῷ αὐτοῦ κόσμῳ εὐπατριδῶν Ἀχαιῶν. εἰ δ' εἴχομεν πρεσβύτερον τοῦ Ὁμήρου συγγραφέα ἢ ἑτέραν τινὰ ἔγγραφον μαρτυρίαν, οὐκ ἂν εἴη τὸ παράπαν τοῦ λοιποῦ δισταγμός, ὅτι ὁ λαὸς ὁ μετὰ τοὺς Γραικοὺς Πελασγοὺς καὶ ὁ ἄμεσος ἀπόγονος αὐτῶν ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι, οἱ καθ' Ὅμηρον Δαναοί, Ἀργεῖοι καὶ Ἀχαιοί, ὁ Αἰολικὸς ἦν, ὅν περ καὶ μεταγενέστεροι συγγραφεῖς, ὡς ἤδη ἐδείξαμεν, ἀποχρῶντάς γε ἔχοντες λόγους ἀπεδέξαντο. ἀλλὰ μαρτυρία καὶ τῆς ἐγγράφου σπουδαιοτέρα οὐκ ἔστιν, ὡς ἡγούμεθα, γενέσθαι τῆς Αἰολικῆς διαλέκτου, ἥπερ εἰς τὴν Εὐρωπαϊκὴν Ἑλλάδα διϊκνεῖται, οἷά περ ἀπὸ κοινοῦ στελέχους, τοῦ ἐν ταῖς προσαρκτίοις χώραις, κλῶνας κατὰ πᾶσαν αὐτῆς διάστασιν διαπέμπουσα. οἱ Αἰολεῖς τοῦ Θουκυδίδου καὶ ἡ Αἰολικὴ διάλεκτος, ἣν εὗρον φθεγγομένην ἐν Πελοποννήσῳ οἱ Αἰτωλοδωριεῖς ὀγδοηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν εἰς αὐτὴν ἐμβαλόντες καὶ αὐτοὶ δήπου μὴ ἱέντες ἑτέραν ἢ τὴν τῶν Αἰτωλοδωριέων Αἰολέων[1]), ἡ Αἰολικὴ μετανάστασις πασῶν τῶν μετὰ τὴν Ἡρακλειδῶν κάθοδον γενομένων προηγηθεῖσα, καὶ ἄλλα ἀνωτέρω ἡμῖν ἐκτεθέντα, δεικνῦσιν, ὡς ἔγω γ' οἶμαι, μόνον δύο τινά, Αἰολικοῦ λαοῦ μετὰ τοὺς

1) Ὅρα τὰς περὶ τούτου κρίσεις τοῦ Grote, I, 656—658.

Γραικοὺς Πελασγοὺς ὕπαρξιν, καὶ εὐπατριδῶν ἐν αὐτῷ τάξιν[1]), τὴν τοὺς Ἀχαιοὺς περιέχουσαν, ἥν Ὅμηρος ποιητὴς ὢν καὶ κλέα ἀνδρῶν ἡρώων περιάδων, οἷά περ πρωτότυπον ἐν τῇ ἐποποιΐᾳ αὐτοῦ ἔσχε.

Δεύτερον δέ φαμεν ὅτι καὶ ἐν Κρήτῃ τοιοῦτοι Ἀχαιοὶ ἀνέκαθεν ἦσαν, ὄντων καὶ τῶν κατοίκων αὐτῆς νεωτέρων Γραικοπελασγῶν, τουτέστιν Αἰολέων, ἀλλ' ἕτεροί γε ἢ οἱ ἐπελθόντες μίαν ἢ δύο γενεὰς μετὰ τὴν εἰς Πελοπόννησον κάθοδον τῶν Ἡρακλειδῶν· εἰ δ' Ὅμηρος νοεῖ καὶ τοὺς πρὸ τοῦ Ἰλίου κατὰ Τρώων μαχομένους Κρῆτας, Ἰδομενέα, Μηριόνην καὶ τοὺς ἄλλους, εἶναι Ἕλληνας, Ἑλληνιστὶ φθεγγομένους ἀλλὰ μὴ Φοινικιστὶ ἢ Καριστὶ ἢ τὸ κεφάλαιον βαρβαροφώνως, καὶ οὗτοί γ' Αἰολεῖς καὶ Ἀχαιοί εἰσι.

## Ε΄. Δωριεῖς.

§ 52. Προθέμενοι ἐν τῇδε τῇ πραγματείᾳ διελθεῖν ἐν συνόψει καὶ κατὰ χρονολογικὴν σειρὰν καὶ τὰ περὶ τῶν πρώτων στοιχείων, ἐξ ὧν τὸ ὅλον συνέστηκεν Ἑλληνικόν, οὗ περ μέγα καὶ σπουδαῖον οἱ διάφοροι ἐν Κρήτῃ λαοὶ ἀνέκαθεν ἦσαν μέρος, ἀναδραμούμεθα καὶ εἰς τὴν πρώτην κοιτίδα τῶν Δωριέων, ἵν' ἐκεῖθεν αὐτοῖς ἀκολουθήσωμεν κατερχομένοις καὶ ἀρχομένοις ἐν τῇ κοινωνικῇ καὶ τῇ πολιτικῇ τῆς Ἑλλάδος σκηνῇ μετὰ τὰ Τρωϊκὰ καὶ ἐφ' Ὁμήρου πρωταγωνιστεῖν· ἐν τούτῳ δὲ τοῦ λόγου γενόμενοι καταλήξομεν λέγειν.

§ 53. Πραγματευομένους δ' αὖθις οὕτως ἀρχαίαν ὑπόθεσιν, δεῖ τοῖς ἀρχαιοτέροις τῶν συγγραφέων περὶ αὐτῆς συμβουλεύεσθαι, οἷόν περ καὶ ἐν τοῖς ἄλλοις λαοῖς γέγονεν· ὅσῳ γὰρ ἐθνολογική τις ὑπόθεσις παλαιτέρα ἐστίν, ὁ δὲ περὶ αὐτῆς λόγον ποιούμενος μεταγενέστερος, οἷοι ὁ Διόδωρος, ὁ Στράβων, ὁ Παυσανίας καὶ οἱ Ἀλλεξανδρεινοί, τοσούτῳ μᾶλλον οὐκ ἔστιν αὐτὴν οἷόν τ' ἀπαλλαγῆναι περιθεμάτων, οἷς τῇ τοῦ χρόνου παλαιότητι καὶ τῇ φιλαυτίᾳ τόπων τε καὶ προσώπων, οἷς αὕτη διαφέρει, περικαλύπτεται. πρεσβύτερον δὲ τοῦ Ὁμήρου συγγραφέα οὐ κεκτήμεθα· ἀλλὰ τὰ τούτου ἔπη ἐλάχιστον περὶ Δωριέων ποιεῖται τὸν λόγον· μὴ γὰρ προκειμένου περὶ οἴκου, ἀλλὰ περὶ φύλου, ὅπερ μετὰ τὰ Τρωϊκὰ καὶ ἑξῆς ἄριστα ἔν τε τῇ κοινωνικῇ καὶ τῇ πολιτικῇ τῆς Ἑλλάδος σκηνῇ ἠγωνίσατο, δεῖ ἡμᾶς διαστέλλειν ἀεὶ τὸν Δωριέων λαὸν τῶν Ἡρακλέους ἀπογόνων. ἅπαξ οὖν μόνον ἐν Ὀδυσσείας Τ (στ. 177.) καὶ ἐν Ἰλιάδος Β (στ. 688.) μνείαν ὁ Ποιητὴς ποιεῖται τῶν Δωριέων, ξηρῶς μέν, ἀλλὰ καὶ ταῖς κατηγορικαῖς φράσεσι 'τριχάϊκες', καὶ 'τριχθὰ ᾤκηθεν καταφυλαδόν', αἳ ἀρκούντως τὴν ἐν τοῖς ἱστορικοῖς χρόνοις πολιτικὴν ἐν τρισὶ φυλαῖς τοῦ Δωρικοῦ φύλου διαίρεσιν δηλοῦσιν· ἄγνωστον γάρ, ὡς καὶ κατωτέρω λεχθήσεται, εἰ οἱ Δωριεῖς ἐν τῇ

1) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 134.

πρώτη κοιτίδι, ἐν τοῖς βορείοις τῆς Θεσσαλίας ὑπὸ τῷ Ὀλύμπῳ, διῄρητο κατὰ φυλὰς ἢ μή, πρῶτον δὲ μετὰ τὸν θάνατον Αἰγιμιοῦ, τοῦ ὑπὸ Πινδάρου[1]) ὑμνουμένου ἐπὶ τοῖς ἐν τοῖς Δωριεῦσι τεθμοῖς αὐτοῦ καὶ ἴσως μετὰ τὴν εἰς Δρυοπίδα τῆς Οἴτης μετανάστασιν, λόγος γίγνεται, ὡς ὁ λαὸς οὗτος εἰς τὰς δύο τὴν τῶν Παμφύλων καὶ τὴν τῶν Δυμάνων φυλὰς διῃρέθη, οὕτω κληθείσας κατὰ λογογράφους ἀπὸ τῶν υἱῶν τε καὶ διαδόχων τοῦ Αἰγιμιοῦ, Παλφύλου καὶ Δυμᾶνος, αἷς προσετέθη ἡ ἀφ' Ὕλλου τοῦ Ἡρακλέους ἡ τῶν Ὑλλέων κληθεῖσα καὶ σύμμικτός γε οὖσα ἔκ τε Ἡρακλειδῶν καὶ ἐξ ἄλλων ἰδίως ἐκ Πελοποννήσου φυγάδων[2]) ἕνεκα τῶν μετὰ τὰ Τρωϊκὰ ἐν αὐτῇ γεγονότων, ὡς τοῖς ὑπὸ Πλάτωνος[3]) περὶ τῆς καθόδου αὐτῶν παραδιδομένοις ὑποδηλοῦται. ἐπεὶ οὖν ἡ μὲν κατὰ τρεῖς φυλὰς τῶν Δωριέων διαίρεσις φαίνεται ἱστορικὴν ἀρχὴν μόνον λαμβάνουσα 60 ἢ 80 ἔτη μετὰ Ἰλίου ἅλωσιν, ἡ δὲ κατ' αὐτὰς κατάστασις, καὶ δὴ ἐν ταῖς ἐκτὸς Πελοποννήσου Δωρικαῖς ἀποικίαις, ὀψιαιτέρα οὖσα, οἱ ὑφ' Ὁμήρου μνημονευόμενοι Κρήτης καὶ Ῥόδου Δωριεῖς τὴν τῶν ἱστορικῶν χρόνων φέρουσι σφραγῖδα, καὶ οὐ τῶν Ὀδυσσέως καὶ Τληπολέμου, οὕτω δ' ἐγένετο ἀναχρονισμὸς ὑπὸ τοῦ Ποιητοῦ, ὅς ἐν τῇ κατὰ τὴν Ποιητικὴν ῥύμην καταλέξει τῶν ἐν ταῖς νήσοις ταύταις λαῶν συγκατελέξατο καὶ τοὺς ἐπ' αὐτοῦ νεωτέρους τῶν νήσων κατοίκους, τοὺς Δωριεῖς, μηδόλως γ' ὑποπτεύων ὡς ἕτεροι τούτῳ κατὰ τὸ δοκοῦν χρήσαιντο.

§ 54. Τούτων οὕτως ἐχόντων, ἕπεται ὅτι οἱ Δωριεῖς καὶ μέχρι μὲν τοῦ ὀγδοηκοστοῦ ἔτους μετὰ Ἰλίου ἅλωσιν, ἰδίᾳ δὲ πρὸ τῶν Τρωϊκῶν καὶ ἐπ' αὐτῶν οὐδόλως φαίνονται ἐπιφανεῖς τινες καὶ λαμπροὶ ἐν Ἑλλάδι ὄντες, πρῶτον δ' ἐγνώσθη ὁποῖοί τινες αὐτοὶ εἴησαν, ὅτ' ἐξώσθησαν ὑφ' ἑτέρων πρὸς μεσημβρίαν χωρήσαντες καὶ ἑτέρους καὶ αὐτοὶ ἐξώσαντες. εἰ δ' ἄλλως εἶχεν, ἀκατάληπτον ἂν ἦν, δι' ὅ, τι ὁ Ποιητὴς αὐτοὺς παρέλειψε, τοσούτων κατὰ χώρας λαῶν, καὶ Θεσσαλικῶν καὶ ἄλλων, μνείαν καὶ ἐν τῷ τῶν Νεῶν Καταλόγῳ καὶ ἐν τοῖς ἄλλοις ἔπεσι ποιούμενος[4]), μεμνημένος δ' αὐτῶν μόνον

1) Ὅρα Πύθια, I, 184.

2) Οἱ Ἡρακλέους παῖδες καὶ ἔκγονοι, καὶ εἰ πολλοί τε καὶ ἀνδρεῖοι ἐγένοντο, οὐδ' οἷοί τ' ἂν ἦσαν ἐν τοῖς Δωριεῦσιν ἰδίαν φυλὴν συστήσασθαι, τὴν τῶν Ὑλλέων, οὔτ' ἂν ἐπεχείρησαν εἰς Πελοπόννησον ἐμβαλεῖν πρὸς ἀνάκτησιν τῶν τοῖς Πελοπίδαις κατεχομένων δικαιωμάτων αὐτῶν, καὶ δὴ ἅμα μετὰ τὴν Ἡρακλέους τελευτήν, ὑπὸ τὸν Ὕλλον, ὅν φασι πεσεῖν ἐν τῇ μετ' Ἐχέμου τοῦ Τεγτάτου, Πελοπιδῶν γαμβροῦ (ὅρα Ἡσιόδου Ἠοίας, ἀπόσπ. 58, σελ. 43. ed. Dünzer), ἐν Ἰσθμῷ μονομαχίᾳ, εἰ μὴ περὶ ἑαυτοὺς εἵλκοντο καὶ ἄλλους μέν, καὶ δὴ πάντ' ἐκ Πελοποννήσου φυγάδα καὶ δυσμενῶς ἔχοντα τοῖς ἄρχουσιν ἐν Μυκήναις, Τεγέᾳ, Σπάρτῃ, Ἀμύκλαις, Στενυκλάρῳ, Ἀνδανίᾳ καὶ Πύλῳ. οὐ μὴν ἀλλὰ καὶ τὴν Παμφύλων φυλὴν ἐκ διαφόρων ἔοικεν, ὡς ὀψόμεθα, συντεθεῖναι λαῶν, τὸν δὲ Πάμφυλον ἐπώνυμον κατὰ προσωποποιΐαν εἶναι.

3) Ὅρα ἐν Νόμοις III, 6—7, σελ. 682—686.

4) Ὅρα ἔμπροσθεν § 45.

ἐν τοῖς ἄνω εἰρημένοις χωρίοις τῆς Ὀδυσσείας καὶ τῆς Ἰλιάδος, ἔνθα διηγούμενος περὶ τῶν ἐν Κρήτῃ καὶ Ῥόδῳ λαῶν προσέθηκεν, ἀναχρονίζων, καὶ τοὺς τελευταῖον ἐν αὐταῖς καταστάντας Δωριεῖς. ἀναμφίβολον δ' ὅτι, Ἡροδότου καὶ Θουκυδίδου εἰδότων τὴν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν διαταραχὴν τῶν ἐν Αἰολίδι λαῶν, Βοιωτῶν, Μαγνήτων, Περραιβῶν, Δωριέων καὶ τῶν ἄλλων, ὑπὸ τῶν ἐπιδραμόντων Θεσσαλῶν τῆς ἐν Ἠπείρῳ Θεσπρωτίας, πολλῷ μᾶλλον ᾔδει ἂν αὐτὴν ὁ Ποιητὴς τῆς Ἰλάδος καὶ τῆς Ὀδυσσείας, ὅς καὶ πρεσβύτερος τῶν ἱστοριογράφων ἐστὶ καὶ τὸ τέρμα τῆς Δωρικῆς πορείας, ὡς ἔοικεν, οἶδεν, οἷον ἥ τε Κρήτη καὶ ἡ Ῥόδος ἦν. ἀπηξίωσεν ἄρα εἰπεῖν περὶ τοῦ γεγονότος τούτου καὶ ὡς μὴ ἔχοντος σχέσιν τοῖς πρὸ τῶν Τρωϊκῶν καὶ ἐπ' αὐτῶν ἥρωσιν αὐτοῦ Ἀχαιοῖς καὶ μὴ σπουδαίου καθ' ἑαυτὸ ὄντος· οἱ Δωριεῖς γάρ, λαὸς μὲν ὀρεινὸς καὶ ἀνδρεῖος, ἀλλ' εὐάριθμός τις, μόνον τότε διεφημίσθησαν, μυθολογικῶς τε καὶ ἱστορικῶς λαμπροὶ γενόμενοι, ὅτε τοὺς Ἡρακλείδας ἑταιρισάμενοι καὶ τοὺς περὶ αὐτοὺς συνεσπειραμένους ἐκ Πελοποννήσου φυγάδας σὺν Αἰτωλοῖς (ὑπὸ τὸν Ὄξυλον), Ὀζόλαις Λακροῖς, Μαλιεῦσι καὶ ἄλλοις κατεναντίον Πελοποννήσου οἰκοῦσιν ὀρεινοῖς καὶ μαχίμοις λαοῖς, καὶ προσβαλόντες τῇ μηκέτι κατὰ τὸ πλεῖστον ὑπαγομένῃ μιᾷ χειρὶ στιβαρᾷ, οἵα ἦν ἡ Ἀγαμέμνονος, ἐκ τῶν ἀποτελεσμάτων τοῦ πελυχροίου ἐν Τροίᾳ πολέμου, Πελοποννήσῳ, τὸ πλεῖστον αὐτῆς κατὰ μικρὸν ὑφ' ἑαυτοῖς ἐποιήσαντο, ὡς ἔπραξαν καὶ ἐν Κρήτῃ ὀψέ, καὶ ἐν ταύτῃ μηκέτι οὔσης μιᾶς συντεταγμένης μοναρχίας, ὡς ἐπ' Ἰδομενέως καὶ δὴ ἐπὶ Μίνωος. ἐκ τῶν γεγονότων τούτων μεγάλη ἐκ τῶν ὑστέρων ἐδόθη σημασία τῇ πρώτῃ ἐκείνῃ ὠθήσειτῇ γενομένῃ ἐκ τῆς τῶν Θεσσαλῶν ἐν τῇ τέως Αἰολίδι ἐπιδρομῆς, τῶν πρώτων ἐξ αὐτῆς ἐκβληθέντων ὑπὸ τῶν ἐπιδραμόντων καὶ τῶν Δωριέων ὑπερεχόντων Βοιωτῶν καὶ Μαγνήτων μικρὰν κίνησιν ποιησάντων[1]).

§ 55. Ἀλλ' οὐ μόνον ἐξαρθέντων, ὅπως ποτ' ἂν ᾖ, τῆς ἀφανείας τῶν Δωριέων, ἀλλὰ καὶ καταστάντων εἰς τέλος ἑνὸς τῶν μονίμων, οὐ μὴν ἀλλὰ καὶ ἐπιφανεσέρων ἐν τοῖς ἱστορικοῖς χρόνοις Ἑλληνικῶν φύλων τῆς κοινωνικῆς καὶ πολιτικῆς ἕνεκεν θέσεως, ἥν περ ἐν Ἑλλάδι κατέσχον, ᾧ καὶ δῆλον γίγνεται, ὡς ἐνῆν τὴν ἀρχὴν σπέρματα προόδου καὶ μεγαλείου τῇ μικρᾷ ταύτῃ τῶν Αἰολέων μοίρᾳ, περιστάσεων μόνον δεό-

1) Κατὰ Θουκυδίδην ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν ἐξεβλήθησαν οἱ Βοιωτοὶ τῆς πατρίδος αὐτῶν Ἄρνης τῆς ἐν Αἰολίδι ὑπὸ τῶν ἐπιδραμόντων Θεσσαλῶν, ὅτε γε καὶ οἱ Δωριεῖς· ὀγδοηκοστῷ δ' ἔτει ἐγένετο ἡ τῶν Ἡρακλειδῶν μετὰ τῶν Δωριέων καὶ τῶν ἄλλων εἰς Πελοπόννησον κάθοδος· εἴκοσιν ἄρα ἔτη διέμενον οἱ Δωριεῖς ἐν στενωχωρίᾳ ἐπὶ τῆς συνοικισθείσης ὑπ' αὐτῶν Τετραπόλεως τῆς ἀποτόμου ἐν Οἴτῃ Δρυοπίδος χώρας, ὅτ' εἰς πλῆθος ἐπιδόντες καὶ ἐλπίσαντες ἐκ τῆς μετὰ τῶν Ἡρακλειδῶν καὶ ἄλλων συμμαχίας βελτίωσιν καταστάσεως ἐξεχύθησαν αὐτῆς καὶ ἐπέδραμον τὴν Πελοπόννησον.

*μενα, ἵνα τελεσφόρα γένηται, δέον ἐρευνῆσαί τε καὶ ἐκθεῖναι τῇ δυνατῇ μὲν συντομίᾳ, ἀλλὰ καὶ χαρακτηριστικῇ ἀκριβείᾳ τὰ τῆς πρώτης αὐτῶν κοιτίδος, τῆς ἐξ αὐτῆς ἐκδιώξεως ἢ τῆς ἑκουσίας αὐτῶν ἀποχωρήσεως, τῆς ἐν τῇ Φωκικῇ Τετραπόλει καταστάσεως, τῆς εἰς Πελοπόννησον εἰσβολῆς καὶ τέλος τῆς εἰς Κρήτην διαπεραιώσεως καὶ ἐκδωριώσεως τῆς νήσου. ληγουσῶν δ' ἐν ταῖς ὑποθέσεσι ταύταις τῶν ἐξ Ὁμήρου εἰδήσεων καὶ μαρτυριῶν, καθ' ἃ προέφημεν, ἐπικαλεσόμεθα ὅ, τι ταύταις σχετικὸν καὶ κύρους ἔν τε τοῖς παλαιοῖς καὶ τοῖς νεωτέροις τυγχάνον.*

§ 56. *Πρὶν δ' ἡμᾶς προβῆναι δέον ἐρευνῆσαι καὶ ἰδεῖν, εἰ ἡ ὑπὸ τοῦ μυθιστοριογράφου Ἀπολλοδώρου παραδιδομένη μαρτυρία* [1]) *περὶ τῆς πρώτης τῶν Δωριέων κοιτίδος τοῖς πράγμασι συμφωνεῖ, ἄλλως τε καὶ ὁρῶντας αὐτὴν μαρτυρίαις πρεσβυτέρων τε καὶ σπουδαιοτέρων συγγραφέων ἐναντιουμένην· ἐν τῷ ὧδ' ὑποσημειωθέντι* [2]) *χωρίῳ τῆς Βιβλιοθήκης διηγούμενος ὁ Ἀπολλόδωρος περὶ τοῦ ὑφ' Ἕλληνος τοῦ Δευκαλίωνος τοῖς τρισὶ παισὶ καταμερισμοῦ τῆς Ἑλληνικῆς χώρας φησί, 'Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβών, τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν'. εἰ ἀληθῶς οἱ Δωριεῖς τηλικοῦτον ἐν τῇ χέρσῳ Ἑλλάδι κατεῖχον μέρος, τὴν μεταξὺ Βοιωτίας, Οἰταίων ὀρέων, Ἀχελώου καὶ Κορινθιακοῦ κόλπου περικλεῖον χώραν, ἐν ᾗ περ καὶ πεδιάδες καὶ κοιλάδες εὐφορώταταί εἰσι, καὶ δὴ αἱ ἔνθεν καὶ ἔνθεν τοῦ Παρνασοῦ τοῖς ποταμοῖς Κηφισσῷ, Εὐήνῳ καὶ Ἀχελώῳ καταρδευόμεναι, ἄπορόν ἐστι πρῶτον μὲν δι' ὅ, τι ὁ Ὁμηρικὸς κατάλογος ἐν τόπῳ καὶ καιρῷ ἐυθέτῳ τῆς τηλικαύτης τῶν Δωριέων χώρας οὐδόλως μνείαν ἐποιήσατο* [3]), *ὅτε δηλαδὴ τοὺς ἐπὶ τῶν*

1) *Ὅρα Ἀπολλόδ.* 1, 7, 3.

2) *Ὅρα τὴν εἰρημένην ὑποσημείωσιν.*

3) *Ὅρα τὴν Β ῥαψῳδίαν τῆς Ἰλιάδος — Οἱ νεώτεροι κριτικοὶ πολλαῖς ἀντιφάσεσιν, ὡς δοκεῖ αὐτοῖς, τῆς Βοιωτίας ἢ τοῦ Νεῶν Καταλόγου πρὸς ἄλλας τῆς Ἰλιάδος ῥαψῳδίας τεκμαιρόμενοι, φασι τὸν Ἑλληνικὸν Κατάλογον, καὶ πολλῷ μᾶλλον τὸν Τρωϊκόν, ἢ προσθήκην ὀψιαιτέραν εἶναι ἰδίαν τοῖς ἐν τοιούτοις καταλόγοις εἰθισμένης Ἡσιοδείου ποιήσεως, ἢ γοῦν αὔξησιν αὐτοῦ. ὅπως ποτ' ἂν ᾖ, δοκεῖ ἀρχαιότερος Ἡροδότου καὶ Θουκυδίδου εἶναι· ἢ γὰρ εὗρεν αὐτὸν ὁ Θουκυδίδης καὶ ἐπειγόμενος εἰς συμφωνίαν ἀγαγεῖν τοὺς πρῶτον ἤδη κατερχομένους (ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν) ἐξ Αἰολίδος Βοιωτοὺς τοῖς ἐν αὐτῷ καταλεγομένοις καὶ ἐπὶ Τροίαν μετὰ* 50 *νηῶν στρατεύσασί, φησιν, 'ἦν δ' αὐτῶν καὶ ἀποδασμὸς πρότερον ἐν τῇ γῇ ταύτῃ, ἀφ' ὧν καὶ εἰς Ἴλιον ἐστράτευσαν' (Θουκ.* I, 12.) *ἢ ἦν ἀληθῶς καὶ πρὸ τῶν Τρωϊκῶν ἀποδασμός τις Βοιωτῶν Αἰολέων ἐν τῇ Καδμηΐδι γῇ, καὶ τότ' αὖθις οἷον τ' ἐστὶ πρεσβύτερον εἶναι τὸν Κατάλογον τοῦ ἱστοριογράφου, ἀλλ' ἐπηυξημένου ἴσως ὄντος, αὐτὸν δοκεῖ τὴν Βοιωτῶν περιφιλαυτίαν ἀρκούντως κολάσαι ταῖς φράσεσιν 'αὐτῶν καὶ ἀποδασμός', καὶ 'ἀφ' ὧν', ἅπερ οὐδόλως συνηγορεῖ τῇ τηλικαύτῃ ἐπὶ Τροίαν πολεμικῇ τοῦ Βοιωτικοῦ τούτου ἀποδασμοῦ δυνάμει. εἴτ' οὖν προσθήκη μεταγενεστέρα ἐστὶν ὁ Κατάλογος, εἴτ' ἐπαύξησις οὐ ποιεῖται τὸ παράπαν περὶ Δωριέων λόγον, οἷά περ μὴ ὄντων ἐν τῷ τότε χρόνῳ, εἰ μή τις μοῖρα ἐν τοῖς*

Τρωϊκῶν ἡγεμόνας τῶν χωρῶν τούτων καὶ τὴν πολεμικὴν αὐτῶν δύναμιν καταλέγει, Θόαντος τοῦ Αἰτωλοῦ, Σχεδίου και Ἐπιστρόφου τῶν Φωκέων καὶ Αἴαντος τοῦ Ὀϊλέως τοῦ λακροῦ! εἶτα δὲ δι' ὅ, τι οἱ Δωριεῖς, τηλικαύτην καὶ τοιαύτην ἔχοντες γῆν ᾤχοντο αὐτὴν ἀπολιπόντες καὶ ἀβεβαίοις ἐλπίσι παραδιδόμενοι καὶ ταῖς Ἡρακλειδῶν ὑποσχέσεσι θαρροῦντες εἰσήλασαν εἰς Πελοπόννησον! εἰ Ὅμηρος ἠνίττετο κατά τί γε τὴν κατ' Ἀπολλόδωρον ἀνέκαθεν μεγάλην ταύτην τῶν Δωριέων χώραν, ἡ δ' ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν γενομένη ἐκείνη ἐπιδρομὴ τῶν Θεσσαλῶν ἐν τῇ Αἰολίδι προώθει καὶ κατῆγε φῦλα πολλὰ καὶ πυκνὰ ἐκ τῶν οἰκούντων τὴν παμφόρον ταύτην γῆν, εἶπεθ' ὅτι ταῦτα κατελθόντα ἐξέωσε τοὺς Δωριεῖς, αὐτοι δ' αὖ ἀνάστατοι καὶ ἀνέστιοι γενόμενοι, ἡταιρίσαντο τοὺς Ἡρακλείδας καὶ τοὺς ἄλλους καὶ οὕτως εἰς Πελοπόννησον ἐνέβαλον. ἀλλ' οὔθ' Ὅμηρός τι τοιοῦτον οἶδεν, οὔτε πολύ τι πλῆθος, ὡς ἔοικεν, ἐκ τῆς ἐπικληθείσης ὑπὸ τῶν Θεσσαλῶν ἐκείνων Θεσσαλίας Μαγνήτων καὶ Βοιωτῶν πρὸς μεσημβρίαν ἀπεχώρησεν, εἰ μή τι μέρος μόνον ἐκ τῶν πρώτων καὶ οἱ ἐξ Ἄρνης Βοιωτοί, οἳ μὴ βουλόμενοι ὑποταγῆναι καὶ Περίοικοι καὶ Πενέσται ἢ Θετταλοοικέται γενέσθαι, ὡς οἱ ἄλλοι, μετανέστησαν, ἀλλ' οὐ ῥύμῃ μεγάλῃ καὶ σφοδρότητί γε, ὡς ἔοικεν, οἱ μὲν εἰς Δελφοὺς πορευθέντες καὶ ἐκεῖθεν εἰς Κρήτην καὶ Μικρασίαν μεταβάντες, οἱ δ' εἰς τὴν Καδμηΐδα γῆν[1]). τούτων οὕτως ἐχόντων, δεῖ ἡμᾶς ἀποδέξασθαι, καθ' Ἡρόδοτον καὶ Θουκυδίδην, ὅτι ἐκ τῆς αὐτῆς Αἰολίδος γῆς ἑκουσίως ἢ ἀκουσίος καὶ οἱ Δωριεῖς κατῆλθον καὶ ἐκδιώξαντες τοὺς ἀδυνατωτέρους αὐτῶν Δρύοπας κατέσχον τὰ μεσημβρινὰ τῶν Οἰταίων ὀρέων, ἔνθα περ ἐν στενοχωρίᾳ διετέλεσαν μέχρι τῆς εἰς Πελοπόννησον σὺν τοῖς Ἡρακλείδαις εἰσβολῆς. εἰ δέ τις Δῶρος ἦν, ἕτερος τοῦ παιδὸς τοῦ Ἕλληνος, ὃν ὁ ἐξ Ἤλιδος φυγὰς Αἰτωλός, καίπερ ξενισθεὶς ὑπ' αὐτοῦ, ἔκτεινε[2]), τοῦθ' οἷόν τ' ἐστὶν ἁπλῆν ὁμωνυμίαν εἶναι, ὅπερ καὶ ἐν πολλοῖς ἄλλοις ὀνόμασι συμβαίνει γίγνεσθαι, καὶ οὐκ ἔστιν ὑποδηλοῦν, ὡς ἀνέκαθεν οἱ Δωριεῖς ἐν τηλικαύτῃ δὴ χώρᾳ ᾤκουν. οὕτω κρίνοντές φαμεν τοὺς Δωριεῖς οἰκεῖν τὸ πρὶν ἄλλοθί ποθι ἢ ὅπου ὁ Ἀπολλόδωρος εἴρηκε καὶ τὴν ἀρχὴν μικροὺς καὶ ἀφανεῖς εἶναι, ὀψὲ

Περραιβοῖς· ὑπαρχόντων γὰρ οὐ μόνον ἐν τηλικαύτῃ καὶ τοιαύτῃ χώρᾳ, καθ' ἅ φησιν Ἀπολλόδωρος, ἀλλὰ καὶ ἐν ἀποδασμῷ τινι, οὐκ ἂν ἀνάσχοιντο οἱ ὑστέρῳ χρόνῳ πανσθενεῖς καὶ ἀγέρωχοι Δωριεῖς τὴν τοιαύτην ἐν τῷ Καταλόγῳ παράλειψιν, καίπερ ἡμῶν ὁρώντων οὕτω σφόδρα καὶ αὐτοὺς καὶ πάντας τοὺς Ἕλληνας κοινῶς τὸν Ὅμηρον εὐλαβουμένους· ὀψὲ γὰρ οἱ Δωριεῖς, ὡς ἐν πολλοῖς λεχθήσεται (ὅρα καὶ ἔμπροσθεν § 48.), ἐφίεντο καὶ τῷ κλέει τοῦ Ἀγαμέμνονος καὶ τῶν Ἀχαιῶν περιβάλλεσθαι.

1) Ὅρα Ἡρόδ. I, 57 καὶ VII, 176. Θουκ. I, 12 καὶ II, 101. καὶ Ἀθήν. VI, 264.

2) Οὗτος Ἀπόλλωνος καὶ Φθίας υἱὸς ἦν, ὅρα Ἀπολλόδ. I, 7, 6.

δέ, προσφόρων περιστάσεων παρατυχουσῶν, μεγάλους καὶ λαμπροὺς γενέσθαι.

§ 57. Ποῦ δ' ᾤκουν τὸ πρῶτον, τοῦτο καὶ ἡ ἀρχαία παράδοσις ἡ τὰ τῆς Ἕλληνος τοῦ Δευκαλίωνος γενεαλογίας πραγματευομένη ὑποδηλοῖ[1]), καὶ Θουκυδίδης σαφῶς ἐκτίθησι λέγων, "Ἕλληνος καὶ τῶν παίδων αὐτοῦ ἐν Φθιώτιδι ἰσχυσάντων κτέ"[2]). ὁ ἱστορικὸς λέγων ταῦτα, οὐ νοεῖ, ὡς ἡμεῖς ἡγούμεθα, οἴκου γενεαλογίαν, οὐδὲ τὴν ἀρχὴν τοῦ γένους καὶ τὴν κλῆσιν τοῦ Ἑλληνικοῦ λαοῦ εἰς τὸν τῶν λογογράφων πατριάρχην ἀνάγει, ἀλλὰ χρῆται τῇ ἐπωνυμίᾳ ταύτῃ πρὸς βάσιμον ἱστορικὴν ἔναρξιν, ὅτε φησίν, ὅτι οἱ Ἕλληνος παῖδες, τουτέστιν ἡ τῶν Γραικοπελασγῶν μοῖρα[3]), ἐν ᾗ ἀνέκαθεν οἱ καλούμενοι Ἕλληνες περιείχοντο, ἔδωκαν κατὰ μικρὸν ὑπερέχοντες τῶν ἄλλων ἐν πᾶσι τὸ ἑαυτῶν ὄνομα τῇ Ἑλλάδι. ἐν Αἰολίδι οὖν ἢ Θεσσαλίᾳ, ἔνθ' ἡ Πηλέως καὶ Ἀχιλλέως Φθία ἦν, ἐν τῇ ἐντεῦθεν καὶ ἐκεῖθεν τῆς Ὄθρυος καθ' Ὅμηρον Ἑλλάδι[4]) ᾤκουν κατὰ Θουκυδίδην οἱ παῖδες τοῦ Ἕλληνος, δηλαδὴ οἱ Ἕλληνες, οὓς αἴτε ἐγχώριοι παραδόσεις καὶ οἱ λογογράφοι εἰς τοὺς ἐπωνύμους ἀνήγαγον πατριάρχας Αἴολον καὶ Δῶρον, υἱοὺς του Ἕλληνος αὐτοὺς ποιήσαντες, νῦν γὰρ ἤδη τὸ Δωρικὸν ἐπεκράτει φῦλον ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι, τὸ δ' Αἰολικὸν τὸ ἐν αὐτῇ μεῖζον πλῆθος ἦν, οὕτω δ' ἔδει τὴν ἀρχὴν τοῦ γένους αὐτῶν ἐξευρεθῆναι, τῶν μὲν Δωριέων, ὡς ἄλλοθί ποθι ἐλέχθη, μοίρας τινὸς τῶν Αἰολέων ὄντων, τούτων δὲ μετὰ τοὺς Πελασγοὺς ἐν μέσῳ παρερχομένων, τῶν δὲ παίδων τοῦ Ἕλληνος, δηλαδὴ τῶν Ἑλλήνων, μοίρας τινὸς τὴν ἀρχὴν τῶν ἐν Ἠπείρῳ Γραικῶν Πελασγῶν γεγονότων, τῆς τῶν Σελλῶν ἢ Ἑλλῶν, πρὸ τῶν Θεσσαλῶν ἐκεῖθεν πρὸς μεσεμβρίαν μεταναστάσης, ἧς τὸ ὄνομα, ὡς ἔοικεν, ἐν τοῖς ἑξήκοντα ἔτεσι τοῖς ἀπὸ Ἰλίου ἁλώσεως μέχρι τῆς Θεσσαλικῆς ἐπιδρομῆς ἐν Ἑλλάδι τῇ ἐνεργείᾳ τῆς Θερμοπυλοδελφικῆς Ἀμφικτυονίας ἐπεκράτησε, διαδεδομένον ἤδη δήπου ὂν ἀπ' Ὄθρυος μέχρις Ἰσθμοῦ ἐπὶ τῆς τῶν Δωριέων εἰς Δρυοπίδα μεταβάσεως, ἐπὶ γὰρ τῶν Τρωϊκῶν μικρόν τι μέρος τῆς μεσημβρινῆς Θεσσαλίας ἀπ' αὐτῶν Ἑλλὰς ἐκαλεῖτο[5]). καὶ Ἀριστοτέλης δέ, οὗ τὰ λεγόμενα ἐπὶ στερρῶν γε ἠρείσθησαν μαρτυριῶν, φησιν[6]) ἀρχαίαν τινὰ ὑπάρξαι Ἑλλάδα περὶ τὴν

1) Ὅρα Ἡσιόδου Ἀπόσπ. 8, 278, ed. Mareksch.

2) Θουκυδ. I, 3.

3) Τοῖς λεγομένοις τούτοις ὑπὸ Θουκυδίδου συνάγεται, ὡς οἵ τε Πελασγοὶ τοῦ Ὠγύγου, τοῦ Ἰνάχου, τοῦ Φορωνέως, τοῦ Αἰγιαλοῦ καὶ οἱ Ἕλληνες τοῦ Δευκαλίωνος καὶ τοῦ Ἕλληνος τῷ αὐτῷ ἀνῆκον γένει, οἱ μὲν παλαίτεροι, οἱ δὲ νεώτεροι γενόμενοι.

4) Ὅρα ἔμπροσθεν § 46 ἐν τῇ ὑποσημειώσει τῇ περὶ τοῦ 'ἀν' Ἑλλάδα, καὶ καθ' Ἑλλάδα, καὶ μέσον Ἄργος'.

5) Ὅρα ἔμπροσθεν § 46.

6) Ἐν Μετεορολογικοῖς, I, 14.

*Δωδώνην τῆς Ἠπείρου καὶ παρὰ τῷ Ἀχελῴῳ, οὗ ἡ κοίτη μετεκινήθη ὑπὸ τοῦ κατὰ τὸν Φιλόσοφον ἐνταῦθα γενομένου ἐπὶ Δευκαλίωνος κατακλυσμοῦ, ἐξ οὗ ὁ οἱὸς αὐτοῦ Ἕλλην ἠναγκάσθη πρὸς μεσημβρίαν μεταναστῆναι, δηλαδὴ εἰς Ἀκαρνανίαν καὶ Αἰτωλίαν, ὁπόθεν κατὰ Διονύσιον τὸν Ἁλικαρνασέα*[1]) *μετ' ἄλλων Πελασγικῶν λαῶν, Κουρήτων καὶ Λελέγων*[2]), *ἐνέβαλε διὰ τῆς Οἴτης εἰς Θεσσαλίαν. ἐκνικήσαντος δὲ μετὰ τὰ Τρωϊκὰ κατὰ μικρὸν τοῦ ὀνόματος αὐτοῦ ἢ τῶν μετ' αὐτοῦ Ἑλλήνων Γραικοπελασγῶν, καὶ τοῦ μὲν Δωρικοῦ φύλου τῆς περιστάσεσιν εἰς ὕψος ἀρθέντος, τοῦ δ' Αἰολικοῦ τὸν πολὺν λαὸν συνιστάντος, αἱ παραδόσεις ἑκατέρων καὶ οἱ λογογράφοι ἀνῆγον τὴν ἀρχὴν τοῦ γένοος αὐτῶν, οἷα Ἑλλήνων ἐν συνόλῳ ἤδη καλουμένων, εἰς Ἕλληνα τὸν Δευκαλίωνος, ποιοῦντες διὰ ταῦτα Δῶρον μὲν καὶ Αἴολον υἱοὺς αὐτοῦ, Ἴωνα δ' ἔκγονον, ὡς οἰκούντων τῶν Ἰώνων ἐν τῇ Ἀσιανῇ Ἑλλάδι. τούτων ὄντων, ἀκολουθεῖ πρῶτον μὲν ὅτι οἱ Δωριεῖς καὶ οἱ Αἰολεῖς ἕτεροί εἰσι τῶν Ἑλλήνων ἐκείνων, τῶν κατὰ Θουκυδίδην ἁπλῶς καὶ δίχα ὀνόματος παίδων τοῦ Ἕλληνος καλουμένων· δεύτερον δ' ὅτι οἱ Δωριεῖς τὴν ἀρχὴν ἐν Θεσσαλίᾳ ᾤκουν, ἔνθ' ὁ πλασθεὶς αὐτοῖς πατριάρχης τὸ πρῶτον μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν ἐνιδρύθη.*

§ 58. *Ἐπεὶ δ' Ἡρόδοτος, βαίνων κατὰ τὰς παραδόσεις, αἷς Φθιῶται μὲν ἐβούλοντο παραστῆσαι ὡς οἱ ἀρχαῖοι αὐτῶν πρόγονοι καὶ τοῖς νῦν κραταιοῖς Δωριεῦσι τοιοῦτοι γένοιντο, Δωριεῖς δ' ἕν τι σταθερόν τε καὶ λαμπρὸν τῆς τοῦ γένους ἀρχῆς σημεῖον ποιήσασθαι, σαφῶς φησι*[3]) *τοὺς Δωριεῖς τὸ παναχαῖον μὲν ἐν Φθιώτιδι οἰκεῖν, ὕστερον δὲ πορευθῆναι ὑπὸ Δῶρον τὸν Ἕλληνος πρὸς τὴν ἐν τοῖς ἱστορικοῖς χρόνοις καλουμένην Ἱστιαιώτιδα, τὴν ὑπὸ ταῖς ὑπωρείαις Πίνδου Ὀλύμπου καὶ Ὄσσης, ἀκολουθεῖ, ὅτι οἱ Δωριεῖς τὴν ἀρχὴν ἐν τοῖς βορείοις Θεσσαλίας ᾤκουν, τὸν ὀρεινὸν νομὸν ἴσως συνιστάντες ἐν τοῖς Περραιβοῖς τοῖς ὑπ' Ὀλύμπου, τῶν ποταμῶν Τιταρησίου καὶ Πηνειοῦ καὶ τῆς Θαλάσσης περικλειομένοις*[4]). *ἦσαν δὲ τὸ πρῶτον ἀφανεῖς καὶ ἄσημοι, λαός τις Περραιβικός, τουτέστιν Αἰολικός, μικρός, ὁ γὰρ Ἡροδότου προηγούμενος Ὅμηρος οὐ ποιεῖται αὐτοῦ μνείαν ἐν τῷ Καταλόγῳ, ἐν ᾧ ἡ πολεμικὴ τῶν Αἰνιάνων, τῶν Περραιβῶν,*

1) *Ἐν Ἀρχαιολ. Ῥωμ.* I. 17.

2) *Καὶ Ἀριστοτέλης (παρὰ Στράβωνι* VII, 7, 321.) *παραδέχεται τὰς χώρας ταύτας ἀνέκαθεν τοῖς Πελασγικοῖς τούτοις οἰκεῖσθαι λαοῖς. ὅρα καὶ ἔμπροσθεν*, § 32.

3) *Ὅρα Ἡρόδ.* I, 55. *Στράβων δέ φησι* (IX, 437.), ‘*ἐκαλεῖτο δὲ (ἡ Ἱστιαιῶτις), ὥς φασι, πρότερον Δωρίς*’.

4) *Ὅρα καὶ* E. Curtius fir. Gesch. I, 89. — *Ἔοικε δὲ μᾶλλον αὐτοὺς τὴν καλουμένην Περραιβικὴν Τρίπολιν (Πύθιον, Δολίχην, Ἄζωρον) οἰκεῖν, τὴν ἀνατολικῶς ὑπ' Ὀλύμπου, ἀρκτικῶς ὑπὸ Τιταρίου (ἐξ οὗ ὁ Τιταρήσιος καταρρεῖ), καὶ βορειοδυτικῶς ὑπὸ Καμβουνίων καὶ Πίνδου περιοριζομένην.*

τῶν Μαγνήτων καὶ τῶν ἄλλων Θεσσαλικῶν λαῶν δύναμις καταλέγεται. καὶ Διόδωρος δὲ[1]) καὶ αὐτὸς Ἀπολλόδωρος[2]), καίτοι ἄλλοθί ποθι εἶπε, 'Δῶρος τὴν πέραν χώραν Πελοποννήσου λαβών, τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσέ'[3]), φασιν, ὅτι Αἰγιμιὸς ὁ Δωριέων βασιλεὺς πολεμούμενος καὶ πιεζόμενος Κορώνῳ τῷ Λαπιθῶν βασιλεῖ, τὴν ἀρωγὴν ᾐτήσατο Ἡρακλέους, ὃς προσβαλὼν ἐνίκησε τοὺς Λαπίθας τὸν Κόρωνον κτείνας, ἐφ' ᾧ χάριν ὁ Αἰγιμιὸς ἀποδιδοὺς τὸ τρίτον τῶν κτήσεων τῷ Ἡρακλεῖ ἀπένειμε καὶ τὸν παῖδα αὐτοῦ Ὕλλον εἰσεποιήσατο, οὗ οἱ ἀπόγονοι κατὰ τοὺς γενεαλογογράφους τοῖς Δωριεῦσι συνηνώθησαν, τὴν τρίτην ἐν αὐτοῖς φυλὴν τὴν τῶν Ὑλλέων συστησάμενοι[4]). ὁ καταλεγόμενος δ' ἐν τῷ τῶν νεῶν Καταλόγῳ Λεοντεὺς ὁ Κορώνου ἐστὶ δήπου Λαπιθῶν ἡγεμὼν μετὰ Πολυποίτου τοῦ Πειρίθου[5]), ὡς καὶ ἄλλαις τῆς Ἰλιάδος ῥαψῳδίαις δηλοῦται[6]) καὶ δὴ τῷ Κενταύρων διαβοήτῳ ἀγῶνι πρὸς τοὺς Λαπίθας, ὧν τῷ Βασιλεῖ Πειρίθῳ καὶ τοῦ Πολυποίτου πατρὶ ὁ φίλτατος αὐτῷ Θησεὺς τελεσφόρως ἤμυνεν· υἱὸς ἄρα τοῦ Κορώνου ἐκείνου, ὃν Ἡρακλῆς, καθ' ἃ εἴρηται, τῷ Αἰγιμιῷ ἀρήγων ἐνίκησε καὶ ἀπέκτεινεν. ἀλλ' αἱ τῶν Λαπιθῶν πόλεις Γυρτών, Ὀλοοσσὼν καὶ αἱ ἄλλαι[7]) πρὸς νότον τῆς τῶν Περραιβῶν χώρας ἔκειντο, τούτῳ δὲ δηλοῦται ὡς ἡ χώρα τῶν παναρχαίων Δωριέων, οἷς ὁ Λαπίθης Κόρωνος ἐπολέμει, νομός τις τῆς Περραιβίας ἦν, ἴσως δ' ὁ ὀρεινότερος, ἐὰν ἀπίδωμεν τῷ ἀεὶ τῷ Δωρικῷ λαῷ παραμείναντι τραχεῖ χαρακτῆρι. καὶ ἐκ τοῦ προμνησθέντος δ' Ἄνδρωνος[8]) ἔστι πεισθῆναι ὡς οἱ Δωριεῖς τὸ κατ' ἀρχὰς λαός τις ἦν ὑπὸ ταῖς μεσημβριναῖς τοῦ Ὀλύμπου ὑπωρείαις διαιτώμενος. ὁ συγγραφεὺς οὗτος, ὃν Στράβων μὲν παρὰ Φιλοχώρῳ[9]), Πλούταρχος δὲ παρ' Ἑλλανίκῳ[10]) τάττει, Ἀτθιδογράφος ἦν, πρεσβύτερός γε Διοδώρου καὶ Ἀπολλοδώρου, περὶ τὰ 300 π. Χ βιῶν[11]). οὗτος οὖν τὰ περὶ τῆς παναρχαίας ἐκείνης ἐν Κρήτῃ Δωρικῆς ἀποικίας πραγματευόμενός φησι, 'Κρητὸς ἐν τῇ νήσῳ βασιλεύοντος, Τέκταφον τὸν Δώρου τοῦ Ἕλληνος, ὁρμήσαντα ἐκ τῆς ἐν Θεσσαλίᾳ τότε μὲν Δωρίδος, νῦν δὲ Ἱστιαιώτιδος καλουμένης, ἀφικέσθαι

1) Ὅρα βιβ. IV, 37, 60.
2) Ὅρα βιβ. II, 7, 7.
3) Ὅρα ἔμπροσθεν § 56.
4) Ὅρα Ἔφορον π. Στεφ. Βυζ. ἐν λ. Δυμᾶν, Fragm. 10, ed. Marx.
5) Ὁμ. Ἰλ. Β, 738—747.
6) Ὁμ. Ἰλ. Μ, 128 κτἑ., καί Ψ, 836 κτἑ.
7) Ὅρα Ὁμ. Ἰλ. Β, 738 καὶ 739.
8) Ὅρα ἔμπροσθεν § 50.
9) Βιβλ. IX, 601.
10) Ἐν β. Θησέως, I, 53, Reiske.
11) Ὅρα προεισαγωγικὴν πραγματείαν Κ. Μυλλέρου (C. Müller) ἐν Ἀποσπάσμασιν Ἑλλήνων ἱστορικῶν, ed. Didot. p. LXXXII, καὶ Prolusio de Athidum scriptioribus, ἐν τῇ τῶν ἀποσπασμάτων Φανοδήμου καὶ Δήμωνος ἐκδόσει ὑπὸ Λήντου (Lentz), p. XXVIII, Lips. 1812.

εἰς Κρήτην μετὰ Δωριέων τε καὶ Ἀχαιῶν καὶ Πελασγῶν τῶν οὐκ ἀπαράντων εἰς Τυρρηνίαν'[1]). μὴ ἐξετάζοντες ἐν τῷ παρόντι εἰ ἀληθῶς ἢ μὴ ἡ μετανάστασις αὕτη ἐγένετό[2]), φαμὲν μόνον, ὡς ὁ συγγραφεὺς οὐκ ἐδύνατο, καὶ δὴ Δωριεὺς ὤν, ἐκ γωνίας τινὸς τῶν τοῦ Ὀλύμπου ὑπωρειῶν τοὺς Δωριεῖς κατάγειν, γράφων περὶ τούτου ὅτ' οὔπω αἱ Δωρικαὶ πολιτεῖαι παρηκμάκεισαν, εἰ μὴ οὕτως εἶχεν[3]).

§ 59. Ὁ μικρὸς οὗτος λαός, ὁ ἐν τῇ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος ἐσχατιᾷ οἰκῶν καὶ μὴ ὑφ' Ὁμήρου γιγνωσκόμενος, περιεῖχεν ἀνέκαθεν σπέρματα μελλούσης λαμπρότητος καὶ μεγαλείου. εἴτε γὰρ τῆς χώρας αὐτοῦ ὑπὸ τῶν ἐκ τῶν ἀπὸ δυσμῶν τοῦ Πίνδου ἐπελθόντων Θετταλῶν[4]) ἐξεβλήθη, εἴθ' ἑκουσίως ἀπεχώρησεν, ἐπὶ μεσημβρίαν τραπείς[5]), δῆλον ὅτι οὐκ ἠνέσχετο τῇ πολιτικῇ θέσει περιελθεῖν, ἐν ᾗ ἴσμεν τὰς ἄλλας ἐν Θεσσαλίᾳ Αἰολικὰς κοινότητας περιελθούσας, ἐν τῇ τῶν Περιοίκων καὶ τῶν Πενεστῶν ἢ Θετταλοοικετῶν. ἄρας οὖν ἀπὸ τοῦ Ὀλύμπου, ὅτε ταὐτὸ ἐποίησαν καὶ Βοιωτῶν τινες καὶ Μαγνήτων (ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν), ὑπερέβη τὴν Ὄθρυν καὶ τὴν Οἴτην, καὶ ἐν ταῖς μεσημβριναῖς ταύτης ἀκρωρείαις κατέστη, Δρύοπας τοὺς πρώτους αὐτῶν κατόχους ἐξελάσας. ἐν τῇ νέᾳ ταύτῃ πατρίδι, ὁμοίᾳ τῇ ὑπὸ τῷ Ὀλύμπῳ τὴν φύσιν, οἱ Δωριεῖς ἱδρυθέντες καὶ ὑπὸ πολλῶν τε καὶ ἰσχυροτέρων λαῶν περικυκλούμενοι, ἐσπούδασαν ἐπιμιγῆναι καὶ ἑταιρίσασθαι αὐτούς[6]), μεταδόντες τῶν κοινωνικῶν καὶ

1) Ὅρα Στέφ. Βυζ. ἐν λ. Δώριον.

2) Ὅρα περὶ τούτου ἔμπροσθεν § 50 καὶ κατωτέρω.

3) Πολλὰ ὀνόματα ὀρέων, ποταμῶν καὶ πόλεων ἀρχαιότερα τυγχάνοντα ἐν τοῖς τῆς Θεσσαλίας βορείοις ἢ ἐν τοῖς διαφόροις τῆς ἄλλης Ἑλλάδος μέρεσιν, ἐν οἷς εἰσὶν ἐγκατεσπαρμένα, ὁπόθεν καὶ ὅπου εἶτα οἱ Δωριεῖς ἢ διῆλθον ἢ διαρκῶς ᾤκησαν, δείκνυσι πρὸς τοῖς ἄνω εἰρημένοις πᾶσιν, ὡς οἱ Δωριεῖς ἐκεῖ τὸ παναρχαῖον ἐνδιῃτῶντο, ὅπου ἀρχαιότερον ταῦτα ἀναφέρεται· οὕτως ὁρῶμεν τὰ ἐν τῇ Οἰταίᾳ ἢ Φωκικῇ τῶν Δωριέων Τετραπόλει καὶ ἐν τῇ τῆς Ἀχαΐας παραλίᾳ, εἰς ἣν τὸ πρῶτον οἱ Δωριεῖς ἀπέβησαν ἐπιδραμόντες τὴν Πελοπόννησον (ὅρα μικρὸν κατωτέρω), Πίνδον, Πύθιον (ἢ Πυθώ), Βοιόν (ἢ Βοίβην), Ἐρινεὸν καὶ ἐν τοῖς τῆς Θεσσαλίας προσαρκτίοις· τὰ ἐν τῇ Δωρικῇ Μεσσηνίᾳ καὶ Λακεδαίμονι Τρίκκην, Οἰχαλίαν, Ἰθώμην (ὄρος καὶ πόλιν ἔν τε Μεσσηνίᾳ καὶ Θεσσαλίᾳ), Πάμισον καὶ Εὐρώταν (ἢ Εὔρωπον, τὸν Ὁμήρου Τιταρήσιον.) κοινὰ καὶ τῇ ὑπ' Ὀλύμπῳ Θεσσαλίᾳ. ὅρα περὶ τούτων Ὁμ. Ἰλ. Β, 729. Στρ. IX, 437 καὶ X, 448. Ἡρόδ. VII, 129. Plin. IV, 8, 15, 30. Παυσ. IV, 3, 2.

4) Ἡρόδ. I, 57, καὶ VII, 176. Θουκ. I, 12, καὶ Ἀθήν. VI, 264.

5) Ὅρα καὶ Schömann's gr. Alterth. I, 6—7.

6) Ἀριστόδημος, τῶν τριῶν Ἀριστομάχου τοῦ Ἡρακλείδου παίδων εἷς, ἄγεται γυναῖκα ἐκ τῶν Καδμείων Αἰγειδῶν, δηλαδὴ ἐκ τῶν οὐ μακρὰν τῶν Δωριέων οἰκούντων Βοιωτικῶν λαῶν, Ἀργείαν θυγατέρα Αὐτεσίωνος τοῦ Λαβδακίδου καὶ ἀδελφὴν Θήρα τοῦ ἱδρυτοῦ τῆς μετὰ ταῦτα ἐν τῇ νήσῳ Καλλίστῃ Δωρικῆς ἀποικίας, ἐξ ἧς τοὺς διδύμους παῖδας Εὐρυσθένη καὶ Προκλῆ ἔσχεν. ὅρα Grote, I, 678. — Φασί τινες τοὺς Αἰγείδας τούτυς τῆς Βοιωτίας ἡγεμονίας ἐκβληθέντας ὑπὸ τῶν ἐκ Θεσσαλίας ἐπελθόντων Βοιωτῶν, καταφυγεῖν εἰς τὸ ἕτερον τῆς Εὐρωπαϊκῆς

πολιτικῶν πλεονεκτημάτων, ἅπερ αἱ πολλῷ πρότερον ἐκμεμορφωμέναι Αἰολικαὶ τῆς εὐφόρου Θεσσαλίας κοινότητες ἐκέκτηντο, καὶ πολιτικὸν ποιησάμενοι δεσμόν, οὗ ἕδραν τὸ γειτνιάζον αὐτοῖς ἐν Δελφοῖς μαντεῖον κατεστήσαντο, τὸν ἐν αὐτῷ λατρευόμενον Ἀπόλλωνα[1]) (ὡς καὶ ἐν Πυθίῳ, Τέμπεσι καὶ Ὁμολίῳ, ἕδρᾳ αὖ ὁμοίου δεσμοῦ Αἰολικῶν τῆς Θεσσαλίας κοινοτήτων ὄντι[2])), προστάτην τοῦ δεσμοῦ κηρύξαντες καὶ πολιοῦχον τῆς Τετραπόλεως αὐτῶν[3]). τοιαύτῃ συνετῇ πολιτικῇ χρώμενοι οἱ ἐπήλυδες οὐ μόνον ἀνενόχλητοι τοῖς πέριξ λαοῖς διετέλεσαν, ἀλλὰ καὶ τὸ κέντρον τοῦ δεσμοῦ καὶ ἡ ψυχὴ ἐγένοντο καὶ οὕτως εἰς πλῆθος ἐπέδοσαν μέχρι τοῦ ὀγδοηκοστοῦ ἔτους μετὰ Ἰλίου ἅλωσιν, ὥστε μηκέτι ἑαυτοῖς ἐπαρκοῦντες ἐν τῇ στενοχώρῳ, ὥς φησι Στράβων[4]), Τετραπόλει, ἀναγκασθῆναι ἑταιρίσασθαι Αἰτωλούς (ὑπὸ τὸν Ὄξυλον)[5]), Μαλιεῖς, Ὀζόλας Λοκρούς[6]), καὶ ἄλλους ἐκ τῶν γειτνιαζόντων αὐτοῖς λαῶν, ἐξ ὧν καὶ τῶν Ἡρακλειδῶν καὶ ἄλλων ἐκ Πελοποννήσου φυγάδων μετὰ τὰ Τρωϊκὰ ἡ ἐν τοῖς Δωριεῦσι τρίτη φυλή, ἡ τῶν Ὑλλέων, ὡς ἔοικεν, ἐγένετο[7]), καὶ εἶτ'

Ἑλλάδος ἄκρον, εἰς Ἀμύκλας τῆς Λακεδαίμονος· τοῦτο οὐκ ἔστι πιθανόν, ἡ γὰρ Δωριέων Τετράπολις, ἡ γενομένη, ὡς ἔοικεν, ὁρμητήριον ποικίλων στοιχείων, ὥς ποτ' ἐν Ἰταλίᾳ ἡ ἀρτιγενὴς τοῦ Ῥωμύλου πόλις, ἐγγύς ἦν, ἐνταῦθα δ' ἐστὶ πιθανώτερον ἀγαγέσθαι τὸν Ἀριστόδημον γυναῖκα τὴν ἀδελφὴν Θήρα καταφυγόντος ἐν τοῖς Δωριεῦσι καὶ τοῖς Ἡρακλείδαις μετὰ τῶν ἄλλων Αἰγειδῶν. ὅρα καὶ Schömann's gr. Alterth. I, 199 καὶ 200, παράβ. καὶ σελ. 215 καὶ 233.

1) Ἀπόλλων ἦν ἀνέκαθεν κοινὴ πᾶσι τοῖς Ἕλλησι θεότης καὶ οὐ τοῖς Δωριεῦσι μόνοις· ἀπὸ τῆς εἰσαγωγῆς αὐτῆς ἄρχεται ἡ εἰς ἠθικωτέρας θρησκευτικὰς καὶ κοινωνικὰς σχέσεις μετάβασις, ἡ ἀπὸ τοῦ Πελασγικοῦ εἰς τὸν Ἑλληνικὸν βίον. ὅρα Hoeck, II, 32 καὶ 33 καὶ E. Curtius gr. Gescsh. I, 70.

2) Καὶ αὐτὴ ἡ λέξις Ὁμόλιον (καὶ Ὁμόλη), δείκνυσι τοῦτο. ὅρα καὶ E. Curtius gr. Gesch. I, 91, 92, ἰδίως δὲ 93. Παυσ. IX, 8, 6. Στράβ. IX, 443. Livius 42, 38. Στέφ. Βυζ. ἐν λέξει.

3) Ὅρα καὶ E. Curtius gr. Gesch. I, 90 καὶ 93. — Τεκμήριον ἄλλο τῆς ὑπὸ ταῖς μεσημβριναῖς τοῦ Ὀλύμπου ὑπορείαις πρώτης τῶν Δωριέων κοιτίδος καὶ ἡ θρησκευτική ἐστι σχέσις, ἣν ἐπιμελῶς διετήρησαν πρὸς τὸ ἐν ταῖς ἐκβολαῖς Πηνειοῦ Πύθιον τοῦ Τεμπείτου Ἀπόλλωνος („Ἀπλοῦνι Τεμπείτᾳ" κατὰ τὴν ἐν Θεσσαλίᾳ Αἰολικὴν διάλεκτον. ὅρα Boecks Corpus Inscriptionum, N. 1767), πέμποντες κοινῇ μετὰ τῶν ἄλλων αὐτοῖς συνδεδεμένων λαῶν κατ' ἐννεατηρίδα εἰς τὰ τῶν Τεμπῶν στενὰ θρησκευτικὴν πομπὴν ἐπ' ἐξιλασμῷ. ὅρα Πλούτ. ἐν Αἰτ. Ἑλλην. XI, 292. περὶ Μουσικῆς, XIV, 1136. Στέφ. Βυζ. ἐν λ. Δειπνιάς, καὶ E. Curtius gr. Gesch. I, 92.

4) Ὅρα βιβλ. IV, 427.

5) Τὸν αὐτόν, βιβλ. X, 479.

6) Οὗτοι ἐπέτρεψαν καὶ τὴν πόλιν Ναύπακτον τοῖς Δωριεῦσι χρησαμένοις αὐτῇ ὁρμητηρίῳ πρὸς παρασκευὴν τῶν ἐπιτηδείων τῆς ἐπὶ Πελοπόννησον στρατείας.

7) Ὅρα ἔμπροσθεν § 53 καὶ 58. — Εἰ προσέξομεν τὸν νοῦν καὶ τῷ ὀνόματι τοῦ ὑπὸ τῶν λογογράφων ἀναφερομένου ἑτέρου υἱοῦ τοῦ Αἰγιμιοῦ Παμφύλου, ἐξ οὗ ἡ τρίτη ἐν τοῖς Δωριεῦσι φυλή, ἡ τῶν Παμφύλων, οὐκ ἔσται ἴσως ἄτοπον εἰπεῖν καὶ ταύτην τὴν φυλὴν γενέσθαι ἐκ τῶν μετασχόντων τῆς Δωρικῆς ἐπιδρομῆς διαφόρων λαῶν, οἷον Αἰτω-

εἰσβαλεῖν κατὰ χρησμὸν Ἀπόλλωνος[1]) εἰς Πελοπόννησον, ἥπερ νῦν διῃρημένη ἦν, μὴ ὑπαγομένη ὡς τὸ πρὶν ὑφ' ἓν ἰσχυρὸν σκῆπτρον, οἷον τὸ Ἀγαμέμνος ἦν, καὶ κατὰ μικρὸν αὐτὴν κατακτήσασθαι κατὰ τὸ πλεῖστον ὁδηγούμενοι ὑπ' Ὀξύλου τοῦ Αἰτωλοῦ καὶ τῶν Ἡρακλειδῶν Τημένου, Κρεσφόντου καὶ τῶν διδύμων Ἀριστοδήμου παίδων Εὐρυσθένους καὶ Προκλέους[2]).

§ 60. Ἐγκαταλιπόντες οὖν οἱ Δωριεῖς τὴν δευτέραν πατρίδα διὰ τοὺς ἐκτεθέντας λόγους διεπεραιώθησαν εἰς Πελοπόννησον ὀγδοηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν, ἀποβάντες εἰς αὐτὴν ἴσως μεταξὺ τῶν πόλεων Πατρῶν καὶ Αἰγίου, ἐν μέσῳ γὰρ περίπου αὐτῶν ἔκειτο καὶ ἡ παράλιος πόλις Ἐρινεὸς[3]) ὁμώνυμος μιᾷ τῶν τεσσάρων ἐν τῇ Οἰταίᾳ Δωρίδι πόλεων, σχοῦσα ἴσως τὴν ἀρχὴν κατὰ τὴν ἀπόβασιν αὐτῶν. ὅτι δ' οἱ Δωριεῖς διέπλευσαν τὸν Κορινθιακὸν κόλπον, καὶ δὴ τὸ στενότερον μέρος, τὸ μεταξὺ Ῥίου καὶ Ἀντιρρίου, καὶ οὐκ ἀπέπλευσαν ἐκ τοῦ Μαλιακοῦ ἀναχθέντες, μαρτυρεῖ τό τε ῥᾷον τοῦ ἔργου ἐκεῖθεν ἢ ἐντεῦθεν καὶ ἡ μᾶλλον παραδεδεγμένη παράδοσις τῆς κατὰ τὰ βόρεια τῆς Πελοποννήσου ἀποβάσεως ἢ τῆς εἰς τὴν Ἀργολικὴν χερσόνησιν. ἔστι μὲν γὰρ ὁ τοῦ Μαλιακοῦ κόλπου μυχὸς ἐγγυτέρω τῇ Δωρικῇ Τετραπόλει ἢ ἡ τοῦ Κορινθιακοῦ παραλία, ἀλλὰ λόγοι ἰσχυροί, οἷοι τὸ διέχειν μᾶλλον τὴν Πελοπόννησον τοῦ Μαλιακοῦ ἢ τῆς τῶν Ὀζολῶν Λοκρῶν παραλίας, τὸ ἀνεπιτηδείους εἶναι τοὺς Δωριεῖς περὶ τοὺς πλοῦς, ἐν ἀρχῇ γε τῆς πολιτικῆς αὐτῶν προόδου, καὶ τὸ ἐοικέναι τοὺς αὐτῶν συμμάχους, Αἰτωλούς, Λοκρούς, Μαλιεῖς καὶ ἄλλους, ἐν Ναυπάκτῳ συνῆχθαι, πείθουσιν ἀποδέξασθαι τὴν ἑνὶ ἅλματι, οὕτω φάναι, ἀπόβασιν τῶν Δωριέων εἰς τὴν ἀμέσως κατέναντι τῆς πόλεως ταύτης χερσόνησον. τῇ ἐκ τῆς Ὀδυσσείας δ' ὑπότινων ἐξαγομένῃ ἐν τοῖς παναρχαίοις χρόνοις ἐκείνῃ εἰς Κρήτην μεταναστάσει οὐχ οἷόν τε χρῆσθαι πρὸς ἀπόδειξιν Δωρικῶν κατὰ θάλασσαν στρατειῶν, αὕτη τε γὰρ ἀποδείκνυται, ὡς ἐν οἰκείῳ τόπῳ εἴρηται, ποιητικὸς ἀναχρονισμός, καὶ οἱ Δωριεῖς δοκοῦσιν ἀεὶ μὲν ναυτίλοι εἶναι ἀνεπιτήδειοι καὶ δὴ ἐν τοιούτοις χρόνοις, ὅτε, καθ' ἅπερ ἔφημεν, οὐκ ἠκούετο τὸ παράπαν τὸ

λῶν, Μαλιέων, Λοκρῶν, ὑφ' ὧν ὑστέρῳ χρόνῳ ὁ ἐπώνυμος Πάμφυλος ἐπλάσθη· οὕτω δὲ μόνος υἱὸς τοῦ Αἰγιμιοῦ καὶ διάδοχος λειφθήσεται ὁ Δυμᾶν. ὅρα καὶ Schöm. gr. Alterth. I, 217. — Περὶ τῆς Δυμάνων φυλῆς ὅρα Herm. Staatsalt. 20, 3, καὶ Wachsm. hell. Alterth. 2, 1, p. 15.

1) Ὅρα Ἀπολλόδ. II, 8, 3. Παυσ. III, 13, 3.

2) Ἡρόδοτός φησιν (ἐν VI, 52), ‛Λακεδαιμόνιοι ὁμολογέοντες οὐδενὶ ποιητῇ λέγουσιν αὐτὸν Ἀριστόδημον βασιλεύοντα ἀγαγεῖν σφέας ἐς ταύτην τὴν χώρην, τὴν νῦν ἐκτέαται, ἀλλ' οὐ τοὺς Ἀριστοδήμου παῖδας.' ὅρα καὶ Ξενοφ. Ἀγησ. VIII, 7.

3) Τρεῖς πόλεις οὕτως ἐν τῇ Ἀρχαιότητι καλοῦνται, αὕτη, ἄλλη ἐν Θεσσαλίᾳ (Στράβ.) καὶ τρίτη ὁ Τυρταίου (Ἀποσπάσμ.) ἐν τῇ Τετραπόλει Ἐρινεὸς (ἢ ἡ Ἐρινεὸς κατὰ Στράβ. X, 476). παράβ. καὶ ἔμπροσθεν § 58, ὑποσημ. 3.

Δωρικὸν ὄνομα, Κᾶρες δὲ μόλις καὶ Λέλεγες μικροῖς τισι πλοιαρίοις τὸ Αἰγαῖον ἐδύναντο διαπλεῖν. οὕτως οὖν ἡ πρώϊμως τῶν Δωριέων ὕπαρξις ἐν ταῖς βορειοανατολικαῖς τῆς Πελοποννήσου παραλίαις, ἐν Σολυγείᾳ, Τημενίῳ, Ἑρμιόνῃ καὶ ἀλλαχόθι τῆς Ἀργολίδος, ἐξηγεῖται ῥᾳδίως πρὸς τοῖς ἀνωτέρω ἐκτεθεῖσι περὶ τῆς πρώτης ἀποβάσεως αὐτῶν λόγοις καὶ τῇ φύσει τῶν ἐπισυμβάντων πραγμάτων. ἀποβάντες γὰρ οἱ Δωριεῖς εἰς τὴν ὕστερον κληθεῖσαν Ἀχαΐαν[1]), ἐχωρίσθησαν, ὡς ἔοικε, δίχα, δύο μοίρας ποιησάμενοι, τὴν ὑπὸ τὸν Ὄξυλον καὶ τὸν Κρεσφόντην, καὶ τὴν ὑπὸ τὸν Τήμενον καὶ τὸν Ἀριστόδημον (ἢ τοὺς διδύμους αὐτοῦ παῖδας[2])), καὶ τραπέντες ἀντιθέτως πρὸς μεσημβρίαν, ἵνα τὰς τῶν ἐναντίων δυνάμεις περισπάσωνται, καὶ οἱ μὲν Ἤλιδα καὶ Μεσσηνίαν ῥᾷον κατάσχωσιν, οἱ δ' Ἀργολίδα καὶ Λακεδαίμονα, ἔνθα ὁ τῶν Πελοπιδῶν ἦρχεν οἶκος, οἱ Ὀρέστου υἱοὶ Τισαμενὸς καὶ οἱ ἄλλοι, ἐῶντες χαίρειν τοὺς ἐν τῷ ὀροπεδίῳ τῆς χερσονήσου οἰκοῦντας τραχεῖς ὡς αὐτοὶ Ἀρκάδας· πρῶτόν τε γὰρ ἔδει αὐτοὺς ταῖς ἕδραις προσβαλεῖν τῆς τῶν Πελοπιδῶν καὶ τῶν Ἀχαιῶν δυνάμεως, τῷ Ἄργει καὶ ταῖς Μυκήναις τῆς Ἀργολικῆς χερσονήσου· τούτων γὰρ τῆς κυριότητος ἠξίουν τυχεῖν Ἡρακλεῖδαι[3])· καὶ πρῶται φαίνονται ἁλοῦσαι Ἦλίς τε καὶ Ἀργολίς[4]), οἱ δ' ἐν τοῖς νοτίοις Ἀχαιοὶ ἔτ' ἐπὶ χρόνον τινὰ ἀντέχοντες[5]) καὶ δὴ οἱ τῶν Ἀμυκλῶν, τῆς Φάριδος καὶ τῶν Γερονθρῶν τῆς Λακεδαίμονος, αἵ περ ἐπὶ Τηλέκλου μόνον, ἑβδόμου μετὰ Εὐρυσθένη, μικρὸν πρὸ τοῦ πρώτου Μεσσηνιακοῦ πολέμου τοῖς Σπαρτιάταις Δωριεῦσιν ἑάλωσαν[6]). οὕτως οὖν τῆς Ἀργολίδος πρώτης ἁλούσης καὶ τοῦ

1) Εἴ τις εἴποι τοὺς ἐν ταύτῃ ἱδρυμένους Ἴωνας ἀντιστῆναι τοῖς ἀποβᾶσι, πῶς οὐκ ἂν εἴποι ταὐτὸ καὶ τοὺς κατὰ τὸν Ἀργολικὸν κόλπον μέχρι Μαλέου καθεσταμένους Ἀργείους καὶ Κυνουρεῖς Ἴωνας ποιῆσαι; οὐδὲ τοῦτ' ἄρ' ἐστιν ἀποχρῶν λόγος τῇ κατὰ τὴν Ἀργολικὴν χερσόνησον πρώτῃ τῶν Δωριέων ἀποβάσει.

2) Ὅρα ἔμπροσθεν § 59. 3) Ὅρα Ἀπολλόδ. II, 8, 1.

4) Ἡ μᾶλλον τοῦ Κορινθιακοῦ ἢ τοῦ Σαρωνικοῦ κόλπου διέχουσα Σολύγεια, γήλοφός τις ἔξω Κορίνθου κείμενος, κατελήφθη δεκάτῳ περίπου ἔτει μετὰ τὴν Ἡρακλειδῶν Κάθοδον ὑπ' Ἀλήτου τοῦ Ἡρακλείδου Ἱππότου, ἑτέραν μοῖραν ἀγαγόντος Δωριέων, οἵπερ νῦν ἐδύναντο, βοηθούμενοι τοῖς ἄλλοις καθεσταμένοις ἤδη ἐν Πελοποννήσῳ ὁμοφύλοις, ἀποπλεῦσαι ἀνέτως ἐκ Ναυπάκτου καὶ ἀποβάντες κατ' εὐθεῖαν εἰς τὸν Ἰσθμὸν προσβαλεῖν τῇ ἐκ τῆς Σολυγείας εὐεπιβάτῳ τῶν Σισυφιδῶν πόλει. ὅρα Θουκ. IV, 42. Σχολ. Πινδ. Ὀλ. XIII, 17. καὶ Νέμ. VII, 155. Ἔφορον π. Στράβ. VIII, 389. Κόνωνος Διήγ. 26.

5) Μόνος ὁ ἡττηθεὶς ἡγεμὼν Μέλανθος ὁ Νηλείδης ἀπεχώρησε σὺν τοῖς οἰκείοις καί τισι τῶν Πυλίων εἰς Ἀθήνας (Ἡρόδ. V. 65), οἱ δ' ἄλλοι τῆς εὐφόρου Μεσσηνίας Ἀχαιοί, καὶ δὴ οἱ τοῦ δυτικοῦ καὶ νοτιοδυτικοῦ τοῦ Πυλίου κράτους ἀντέσχον, ὡς ἔοικεν, ἔτ' ἐπὶ χρόνον· Κρεσφόντης γὰρ συνεμάχησε τῷ βασιλεῖ τῶν Ἀρκάδων Κυψέλῳ, οὗ τὴν θυγατέρα γυναῖκα ἠγάγετο, ἵνα τὴν ἐν Μεσσηνίᾳ Δωρικὴν ἐπικράτησιν ἀποτελέσειεν. ὅρα Παυσ. IV, 3, 3, καὶ 5—6, καὶ VIII, 29, 4.

6) Ὅρα Παυσ. III, 2, 5 καὶ 6, καὶ 12, 7, καὶ 13, 3. Στράβ. VIII, 364 καὶ 365. Müller's Dorier, I, p. 91 καὶ 94.

*Ἡρακλείδου Τημένου ἐπὶ τὸν θρόνον τῶν προγόνων αὐτοῦ Περσειδῶν ἀναβάντος, οὐκ ἄτοπον ὅτι αἱ κατὰ τὴν παραλίαν τῆς Ἀργολικῆς χερσονήσου Δωρικαὶ πόλεις τὴν ἀρχὴν ἔσχον ἐκ τῆς τῇδε πρωϊμωτέρας τῶν Δωρικῶν ὅπλων προόδου, ἀλλ' οὐκ ἐξ ἀποβάσεως Δωριέων ἐκ τοῦ Μαλιακοῦ κόλπου ὁρμηθέντων· διὸ ἐν τέλει φαμὲν τοὺς εἰσβαλόντας μόνῃ θύρᾳ, ἣν ἀποβαίνοντες εἰς Πελοπόννησον διῆλθον, τῷ Κορινθιακῷ χρήσασθαι κόλπῳ.*

§ 61. *Περὶ δὲ τῆς ἐν βραχεῖ ἁλώσεως τοῦ πλείστου τῆς Πελοποννήσου αἱ γνῶμαι ἀπὸ τῆς ἀρχαιότητος ἔτι διῄρηνται, συνηγορούντων ὑπὲρ τοὐναντίου λόγων ἰσχυρῶν. πρῶτον μὲν γάρ, εἰ καὶ μὴ ὑπήγοντο τοῦ λοιποῦ αἱ πλείους τῆς χερσονήσου χῶραι ὑφ' ἓν ἰσχυρὸν σκῆπτρον, οἷον τὸ Ἀγαμέμνονος ἦν*[1]*), καὶ ἐκ τούτου οὐκ ἦν ἑνότης συμπαγής, οὐδὲν ἧττον ἤκμαζον ἔτι Ἀχαϊκοὶ οἶκοι ἐν Ἄργει, Μυκήναις, Σπάρτῃ, Ἀμύκλαις, Στενυκλάρῳ, Ἀνδανίᾳ καὶ Πύλῳ, οἳ συνηνωμένοι ἀλλήλοις καὶ τοῖς Ἀρκάδων ἄναξιν ἐπιγαμίαις συνδεδεμένοι ἦσαν· διό περ οἱ ἐπελθόντες ἐσπούδασαν τὰς δυνάμεις αὐτῶν διασπάσαι δίχα τμηθέντες, εἰς δυτικὴν ὑπὸ τὸν Ὄξυλον καὶ τὸν Κρεσφόντην καὶ εἰς ἀνατολικὴν ὑπὸ τὸν Τήμενον καὶ τοὺς τοῦ Ἀριστοδήμου παῖδας στρατιάν, οὗ περ καὶ ἐδυνήθησαν τυχεῖν, διὸ καὶ κατέσχον τὰς δύο χώρας, εἰς ἃς τὸ πρῶτον ἐνέβαλον, Ἤλιδα καὶ Ἀργολίδα, ἔνθα ἐθραύσθησαν διασπασθεῖσαι αἱ δυνάμεις τῶν μεγίστων τῆς χερσονήσου ἀρχόντων Τισαμενοῦ τοῦ Ὀρέστου, τοῦ καὶ ἐν τῇ μάχῃ κατά τινας πεσόντος*[2]*), καὶ Μελάνθου τοῦ Νηλείδου τοῦ τῆς*

1) *Ἀγαμέμνων καθ' Ὅμηρον ἤνασσεν Ἄργεϊ παντὶ καὶ πολλῇσι νήσοισι* (*Ἰλ.* B, 108), *ταῖς ἀποσπασθείσαις γ' ἐκ τοῦ διαλυθέντος μετὰ τὴν Μίνωος τελευτήν, πρὸ μιᾶς ἢ δύο γενεῶν, μεγάλου ἐκείνου κατὰ θάλασσαν κράτους. ὁ Ἀτρείδης δηλαδὴ οὐκ ἦρχε μόνον ἐν Μυκήναις, ἀλλὰ καὶ ἐν Ἀρκαδίᾳ καὶ ἐν τῇ βορείῳ Πελοποννήσῳ (ἐν τῇ ὕστερον Ἀχαΐᾳ. ὅρα Ἰλ.* B, 612 *καὶ* 569—575) *καὶ ἐν αὐτῇ τῇ νοτίῳ, τῇ πέραν τοῦ Τυνδάρεω καὶ Μενελάου κράτους, τῇ μεταξὺ Πύλου καὶ Σπάρτῃ κειμένῃ κυριάρχης ἦν· ὑπισχνεῖται γὰρ δώσειν Ἀχιλλεῖ φερνὴν τῆς θυγατρὸς ἑπτὰ πόλεις (Καρδαμύλην, Ἐνόπην, Ἱρήν, Φηράς, Ἄνθειαν, Αἴπειαν καὶ Πήδασον, ὅρα Ἰλ.* I, 149—153) *κατὰ τὸν Μεσσηνιακὸν κόλπον κειμένας, ἐν αἷς ἦρχεν, ὥς τις ὑποτελής, ὡς ἔοικεν, ἄναξ Διοκλῆς ὁ Κρήθωνος πατὴρ καὶ Ὀρσιλόχου τῶν ὑπ' Αἰνείου πρὸ τοῦ Ἰλίου φονευθέντων* (*Ἰλ.* E, 541 *κτἑ, ὅρα καὶ* Gladstone's hom. Stud. p. 280 *καὶ* 281, *καὶ* Schömann's gr. Alterth. I, 34 *καὶ* 121). *ἐπὶ τῆς Ἡρακλειδῶν δὲ καθόδου Τισαμενὸς ὁ Ὀρέστου τοῦ Ἀγαμέμνονος ἄρχει ἐν μόνῃ τῇ Ἀργολίδι καὶ δικαιώματι κληρονομικῷ καὶ ἐν Λακεδαίμονι μὴ ἀπολιπόντος Μενελάου υἱὸν ἐπὶ διαδοχῇ, ἑδρεύει δ' ἐν Μυκήναις, αἵπερ ἐγένοντο καὶ τοῦ ἐν Ἀργολίδι Δωρικοῦ κράτους μητρόπολις μέχρι Φείδωνος τοῦ Τημενίδου ἐν Ἄργει οἰκοῦντος, πρότερον γὰρ ἡ Διομήδους ἀπόγονοι ἐν Ἄργει ἦρχον, ἴσως ὑποτελεῖς ὄντες τοῖς Πελοπίδαις.*

2) *Ἀπολλόδωρος μὲν* (II, 8, 3) *μᾶλλον τῶν ἄλλων ἐν τοῖς περὶ καθόδου τῶν Ἡρακλειδῶν δωρίζων, φησὶν ὅτι ἐν τῇ πρώτῃ μάχῃ εὐθὺς Τισαμενὸς ἐφονεύθη, ἐκ τῶν ἐναντίον δ' οἱ φύλαρχοι καὶ ἐπώνυμοι τῶν δύο Δωρικῶν φυλῶν, οἱ Αἰγιμιοῦ παῖδες Δυμὰν καὶ Πάμφυλος (ὅρα περὶ αὐτῶν ἔμπροσθεν, καὶ ἰδίως περὶ τοῦ δευτέρου* § 59 *καὶ ὑποσημ.* 7)·

*Ἤλιδος καὶ τῆς Μεσσηνίας ὑπ' Ὀξύλου καὶ Κρεσφόντου ἐκβληθέντος καὶ εἰς Ἀθήνας ἀποχωρήσαντος*[1]. *εἶτα δ' οὐκ ὀλίγοι τῶν ἡττηθάντων ἐν τοῖς Ἀργολικοῖς τε καὶ τοῖς Ἠλειακοῖς πεδίοις Ἀχαιῶν καὶ Ἐπειῶν κατέφυγον οἱ μὲν εἰς τὰς μεσημβρινὰς χώρας, εἰς Λακεδαίμονα καὶ Μεσσηνίαν καὶ εἰς αὐτὴν τὴν Ἀρκαδίαν, οἱ δ' εἰς τὰ βόρεια, εἰς τὴν ἀπ' αὐτῶν ὕστερον κληθεῖσαν Ἀχαΐαν. ἐν μὲν γὰρ τοῖς βορείοις τῆς χερσονήσου πολλοὶ συσπειραθέντας φραγμὸν τιθέασι τῇ περαιτέρᾳ τῶν Δωρικῶν ὅπλων προόδῳ*[2], *εἰς δὲ τὰ νότια καταφεύγουσι μικρὸν κάτωθεν τῆς Σπάρτης, τὸ πλεῖστον τῆς Λακεδαίμονος κατέχοντες, καὶ δὴ τὰς πόλεις Ἀμύκλας, Φάριν, Ἕλος καὶ Γερόνθρας, αἳ ἐπὶ Τηλέκλου μόνον, μικρὸν πρὸ τοῦ πρώτου Μεσσηνιακοῦ πολέμου τῇ Σπάρτῃ ὑπετάγησαν*[3], *καὶ πρὸς μεσημβρίαν τῆς ἐν Μεσσηνίᾳ Δωρικῆς τοῦ Κρεσφόντου μητροπόλεως Στενυκλάρου*[4]. *κατὰ ταῦτα οὖν οὔτε πᾶσα ἡ Πελοπόννησος ἐγένετο Δωρική, τρεῖς γὰρ λαοὶ ἐν αὐτῇ ὕστερον ᾤκουν, οἱ κληθέντες Ἀχαιοί, οἱ Ἀρκάδες καὶ οἱ Δωριεῖς, οὔτε τὰ ἐκδωριωθέντα κατὰ μικρὸν μέρη μιᾷ μόνῃ προσβολῇ, οἷά περ ῥάβδῳ μαγικῇ, ταύτῃ τῇ καταστάσει μετέπεσεν. ἔτι δὲ μᾶλλον ἀπαράδεκτον δοκεῖ εἶναι τὴν γνώμην, ὅτι οἱ ἐπιδραμόντες οὐκ ἐχωρίσθησαν δίχα, ἵνα ταῖς πρὸ ποδῶν Τισαμενοῦ καὶ Μελάνθου προσβάλωσι χώραις, Ἀργολίδι καὶ Ἤλιδι, ἀλλὰ περιῆλθον κύκλῳ τὴν Πελοπόννησον, τὴν κατάκτησιν αὐτῆς κυκλικῇ τινι στρατείᾳ ἢ ἑνὶ στρατιωτικῷ περιπάτῳ ἀποτελέσαντες. ἀπροσβάτου γὰρ οὔσης τῆς Ἀρκαδίας, ἔδει αὐτοὺς κατελθεῖν καὶ εἰσελάσαι εἰς τὴν χερσόνησον ἢ διὰ τῆς Ἤλιδος παραπορευομένους τὸ Ἀλφειοῦ ῥεῦμα, ἢ διὰ τῆς Σικυῶνος καὶ τῆς Ἀργολίδος· εἰ δ' οὕτως ἔχει, περανθείσης τῆς πορείας εἰς τὸ ἄκρον τοῦ ἑτέρου τῶν δύο κρατῶν τοῦ τῶν Πελοπιδῶν ἢ τοῦ τῶν Νηλειδῶν, καὶ ἀρξαμένης ἐκεῖθεν τῆς διανομῆς τῶν κεκτημένων, ἄπορον ὅπως ὄπισθεν τρωτά, ὡς ἐδείχθη, τὰ νῶτα οἱ Δωριεῖς ἀπέλιπον, μὴ ἁλόντων τῶν μειζόνων καὶ ἰσχυροτέρων τῶν κρατῶν τούτων μερῶν, τῆς Λακεδαίμονος καὶ τῆς Μεσσηνίας. οἱ Δωριεῖς ἄρα σὺν τοῖς ἄλλοις συμμάχοις εὐθὺς δίχα τμηθέντες, ἐπέπεσον ἐν τῷ αὐτῷ*

*προστίθησι δ' ὅτι οὕτως ἡ μάχη ἦν κρίσιμος, ὥστε τοὺς Δωριεῖς εὐθὺς μετ' αὐτὴν ἐπὶ τὴν τῆς χώρας διανομὴν προβῆναι! Πολύβιος δέ φησιν ἐπιζῆσαι Τισαμενὸν συνθήκαις ἀποχωρήσαντα εἰς τὰ βόρεια τῆς Πελοποννήσου εἰς Ἀχαΐαν, ὁπόθεν Ἴωνας ἐξέβαλε νικήσας αὐτοὺς ἐν μάχῃ κρατερᾷ, καὶ τὸ γένος αὐτοῦ διατελέσαι ἄρχον μέχρις Ὠγύγου, μεθ' ὃν τὸ μοναρχικὸν εἰς δημοκρατικὸν μετέστη πολίτευμα (ὅρα Πολύβ.* II, 45. IV, 1. *παράβ. καὶ Στράβ.* VIII, 383—384)· *Παυσανίας δέ φησι* (VII, 1—3) *οὐ πεσεῖν Τισαμενὸν ἐν τῇ πρὸς Δωριεῖς μάχῃ, ἀλλ' ἐν τῇ πρὸς Ἴωνας· ἀλλὰ κατὰ Γρότην* (Grote I, 394) *σκοπίμως τοῦτο ἐλέχθη ὑπὸ Παυσανίου, βουλομένου τὰς δύο ἀντιφασκούσας παραδόσεις μιᾷ συνάψαι.*

1) *Ὅρα Ἡρόδ.* V, 65.

2) *Ὅρα τὴν ἀνωτέρω 1 ὑποσημείωσιν.*

3) *Ὅρα* Grote, I, 650, *καὶ* Hoeck, II, 420.

4) Grote I, 651 *καὶ* 654 *καὶ* 655.

χρόνῳ τοῖς δύο μεγάλοις τῆς χερσονήσου ἡγεμόσι πρὸ τοῦ τὰς δυνάμεις αὐτοὺς συνενῶσαι, νικήσαντες δ' οὕτως αὐτούς, ἀποκατέστησαν τὸ πρῶτον ἐν Ἤλιδι καὶ Ἀργολίδι, εἶτα δ' ἐχώρησαν πρὸς μεσημβρίαν, ἐνθρονίσαντος τοῦ Τημένου ἀνατολικῶς μέν, ἐν Σπάρτῃ, τοὺς Ἀριστοδήμου υἱούς, δυτικῶς δὲ τοῦ Ὀξύλου, ἐν Στενυκλάρῳ τὸν Κρεσφόντην. τούτοις συνηγορεῖ ἔτι καὶ ἡ φαινομένη ἐξ ἀρχῆς ἅλωσις τῆς Ἀργολίδος, ἔνθα Τήμενος κατέστη, καὶ τῆς Ἤλιδος, ἧς ἠξίου τυχεῖν ὁ Ὄξυλος σὺν τοῖς Αἰτωλεῖς αὐτοῦ.

§ 62. Περὶ τῆς τῶν Ἡρακλειδῶν καθόδου διάφοροι διηγήσεις παρὰ τοῖς ἀρχαίοις ἦσαν· αἱ σπουδαιότεραι αὐτῶν αἱ δύο αὗταί εἰσι.

Κατὰ τὴν μέν, ὡς Πλάτων φησίν[1]), οἱ ἐπιδραμόντες ἦσαν φυγάδες Ἀχαιοὶ ἐκπεσόντες τῆς Πελοποννήσου ἐκ τῶν μετὰ τὰ Τρωϊκὰ ἐν αὐτῇ γεγονότων· οὗτοι δ' ὑπὸ Δώρου τινὸς συλλεχθέντες, ἀφ' οὗ καὶ τὴν κλῆσιν Δωριεῖς ἔσχον, καὶ ὑφ' Ἡρακλειδῶν ὁδηγούμενοι, κατῆλθον εἰς Πελοπόννησον. ἡ παράδοσις αὕτη ἐγένετο, ὥς περ ἔοικεν, ἐπ' ἀντικρούσει τῆς δυσφημίας, ὡς οἱ Δωριεῖς τὸ πρὶν ἄσημοι καὶ ἀφανεῖς εἴησαν. ἀληθὲς μὲν γὰρ ὅτι ἀνὰ τὴν Ἑλλάδα πᾶσαν, καὶ δὴ ἐν Πελοποννήσῳ, τὰ Τρωϊκὰ ἀλλοιώσεις ἐπήνεγκεν ἔν τε ταῖς κοινωνικαῖς καὶ ταῖς πολιτικαῖς σχέσεσι τῶν λαῶν καὶ τῶν ἡγεμόνων· ἀλλ' οἱ ἐκ τούτων ἐκπεσόντες οὔθ' οὕτω γε πολλοὶ ἦσαν, οὔθ' οὕτω λαμπροὶ καὶ ἰσχυροί, ὥστε τὸ μὲν τηλικαύτην στρατιὰν συστήσασθαι, ἡλίκη ἡ Δωρικὴ ἡμῖν παραδίδοται, τὸ δ' ἐν ἑαυτοῖς σχεῖν τοιούτους ἄνδρας, οἷοί περ ἐγένοντο οἱ μεταβαλόντες ὅλως τήν τε πολιτικὴν καὶ τὴν κοινωνικὴν τῆς Ἑλλάδος κατάστασιν Ἡρακλεῖδαι καὶ οἱ ἄλλοι τῶν Αἰτωλοδωρέων ἀρχηγοί· ὡς δ' ἴσμεν, ὁ μὲν τῶν Πελοπιδῶν οἶκος, οἱ τοῦ Ὀρέστου Τισαμενὸς καὶ Πενθίλος, ἐκράτει ἔτι τῶν Μυκηνῶν καὶ τῆς Σπάρτης, ὁ δὲ τῶν Νηλειδῶν τῆς Μεσσηνίας καὶ τῆς Ἤλιδος, τοῦ Πυλίου κράτους. ἡγούμεθα δ' ὡς τοὐναντίον πάνυ πιθανόν ἐστιν, ὡς ἐν τοῖς Ἡρακλείδαις περιείχετο μόνον στοιχεῖα, περιελθόντα τῇ τῶν φυγάδων θέσει δι' αἰτίας, οἷα ἡ Αἰγίσθου καὶ τῶν Μνηστήρων καὶ ἄλλων βουληθέντων τοῦ θρόνου πολυτρόπως τοὺς νομίμους ἐξῶσαι ἡγεμόνας, οἵ περ ἔνδοξοι καὶ λαμπροὶ οἴκαδ' ἐπανελθόντες, πολλοὺς τῶν ἀτασθάλων τούτων ἀπέκτειναν ἢ τῆς χώρας ἐξέβαλον. ἀλλὰ καὶ οὕτως ἔχοντος, οὐκ ἔστι τὸ παράπαν τὴν τῶν Ἡρακλειδῶν κάθοδον Ἀχαϊκὴν θεωρεῖσθαι, ἐπιδρομὴν ὁμοφύλων ἐπ' ὁμοφύλους λόγοις πολιτικοῖς ἐντοπίοις τὴν αἰτίαν σχοῦσαν, καὶ δὴ μετὰ τρεῖς περίπου γενεάς, ὀγδοηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν· ὡς γὰρ εἴρηται, ὀλιγαρίθμων τινῶν τῶν φυγάδων τούτων ὄντων, οὐκ ἔστι πιθανὸν ἄλλως τηλικοῦτον αὐτοὺς διαπράξασθαι ἔργον ἢ κλινάντων

1) Ἐν Νόμοις, III, 6—7, σελ. 682—686.

*πρὸ αὐτῶν τῶν τῆς χερσονήσου λαῶν γόνυ τῷ μόνῳ λόγῳ, ὅτι ὑπὸ τῶν ἀξιούντων τοῦ τῶν Περσειδῶν θρόνου τυχεῖν Ἡρακλέους ἀπογόνων οἱ ἐπιδραμόντες ὡδηγοῦντο, τοῖς προπάτορσι τῶν Πελοπιδῶν καὶ τῶν Νηλειδῶν τῶν τοῦ Ἀχαϊκοῦ Ἄργους κατοίκων λαμπρυνθέντων καὶ νῦν ἡσύχως ἐχόντων. ἡ ὁμοιότης δὲ τῆς διαλέκτου τῶν ἐπελθόντων τῇ τῶν τῆς χερσονήσου κατοίκων οὐκ ἔοικε θαρρύναι τοὺς πλάσαντας τὴν παράδοσιν ταύτην οὐδ' ἐνισχῦσαι αὐτήν· ἦσαν γὰρ πάντες, ὅτι ἀπ' Ὀλύμπου μέχρι Ταινάρου οἱ κατὰ τόπους διάφοροι τῆς Αἰολικῆς διαλέκτου κλάδοι ὀγδοηκοστῷ ἔτει μετὰ τὰ Τρωϊκὰ εἴησαν πολλῷ ὁμοιότεροι τῶν μετὰ ταῦτα, ὅτε ταῖς πολιτικαῖς περιστάσεσι τρεῖς ἐν Ἑλλάδι φυλαὶ καὶ διάλεκτοι διεκρίθησαν, ὅτε τὸ Δωρικὸν ἰδίωμα ὡς διάλεκτος λαοῦ ἐπικρατοῦντος καὶ κυριάρχου ἰδίᾳ ἐξεμορφώθη.*

*Κατὰ τὴν ἑτέραν δὲ τῶν διηγήσεων, ἣν Ἀπολλόδωρος*[1]) *ἐκτίθησιν, οἱ ἐπιδραμόντως οὐκ ἦσαν Πελοποννήσιοι, ἀλλ' ἐκ τῆς χέρσου, τῆς ἔξω Ἰσθμοῦ Ἑλλάδος, ἰδίᾳ δὲ ἐκ τοῦ κατὰ Τυρταῖον ἠνεμόεντος Ἐρινέου*[2]), *ὁδηγούμενοι ὑπ' ἀξιούντων τῆς κυριαρχίας τῆς χώρας τυχεῖν, ὡς Ὀξύλου μὲν (οἷά περ εἰς Αἰτωλὸν τὸν Ἐνδυμιωνίδην τὸ γένος ἀνάγοντος) Ἤλιδος, Τημένου δὲ καὶ τῶν ἀδελφῶν Μυκηνῶν, Ἄργους καὶ Σπάρτης*[3]). *ἡ διήγησις αὐτη, καί περ πολὺ τὸ μυθικὸν ἔχουσα, καὶ δὴ ἐν ταῖς μετ' Αἰγιμιοῦ συμμαχικαῖς καὶ ταῖς ἄλλαις λεγομέναις σχέσεσιν Ἡρακλέους καὶ τῶν παίδων αὐτοῦ*[4]) *(οἱ Δωριεῖς γὰρ μυθικῶν ἀποροῦντες παραδόσεων καὶ λαμπροῦ παρελθόντος, ἐσπούδαζον ἀεὶ λαμπρύνεσθαι καὶ δικαιολογεῖσθαι ἐπὶ τοῖς πεπραγμένοις), ἀλλ' οὖν γε τὴν οὐσίαν συμφωνεῖ τῇ τε γενικωτέρᾳ τῶν ἀρχαίων καὶ τῶν νεωτέρων γνώμῃ καὶ τῇ τῶν γεγονότων φύσει. φυσικώτερον γὰρ λαὸν εἰς πλῆθος ἐπιδόντα καὶ ἐν στενοχώρῳ ὄντα, ἐν ἐκείνοις δὴ τοῖς χρόνοις, ἑταιρίσασθαι ἀξιοῦντας μεγάλων κληρονομιῶν τυχεῖν καὶ εἰς Πελοπόννησον ἐμβαλεῖν, ἢ ὀλίγους φυγάδας μετὰ μελῶν οἴκου ἀπροστατεύτου καὶ ἤδη πρὸ πολλοῦ λήθῃ περιελθόντος λαοὺς ὑποχειρίους ποιήσασθαι καὶ θρόνους ἀνατρέψαι.*

§ 63. *Καὶ ταῦτα μὲν δὴ ταῦτα μέχρι τῆς εἰς Πελοπόννησον εἰσβολῆς τῶν Δωριέων· μηδὲν δ' ἕτερον προθέμενοι,*

1) *Ὅρα Ἀπολλόδ.* II, 8, 2 *καὶ* 3. *παράβ. καὶ Παυσ.* III, 13, 3.

2) *Ἐν Ἀποσπάσμασιν,*

*'Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις*
*Ζεὺς Ἡρακλείδαις τήν δε δέδωκε πόλιν·*
*οἷσιν ἅμα, προλιπόντες Ἐρίνεον ἠνεμόεντα,*
*Εὐρεῖαν Πέλοπος νῆσαν ἀφικόμεθα.'*

*Καὶ Ἡρόδοτός φησιν (ἐν* VIII, 31, 43), *'ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος ὕστατα ὁρμηθέντες.'*

3) *Ὅρα Ἀπολλόδ.* II, 8, 1 *κτἑ.*

4) *Ἀπολλόδ.* II, 7, 7. *παράβ. καὶ Διόδ.* IV, 37—60, *Ἔφορον π. Στεφ. Βυζ. ἐν λ. Δυμᾶν, ἀπόσπασμα* 10, ed. Marx.

*ὡς καὶ ἐν ἀρχῇ τοῦδε τοῦ κεφαλαίου ἡμῖν εἴρηται, ἢ μόνον τὰς κυρίας γραμμὰς ἀγαγεῖν τῆς ἀπ' Ὀλύμπου καὶ Περραιβίας μέχρι Κρήτης τῶν Δωριέων κατελεύσεως καὶ πορείας, μεταβαίνομεν νῦν ἀπὸ Πελοποννήσου εἰς Κρήτην, ὀψόμενοι τέλος καὶ τὴν ἐν αὐτῇ Δωρικὴν ἐποίκισιν.*

§ 64. *Καὶ περὶ μὲν τῆς παναρχαίας ἐκείνης τῆς ὑπ' Ἄνδρωνος καὶ Διοδώρου ἱστορουμένης εἰς Κρήτην Δωρικῆς ἀποβάσεως ἔστω ἱκανὰ τὰ ἀνωτέρω ἡμῖν εἰρημένα*[1]*, ἔνθα καὶ περὶ τῆς παρ' Ὁμήρῳ μνήσεως τῶν Δωριέων τὰ οἰκεῖα ἐλέχθη*[2]*. ἡ δὲ μεμαρτυρημένη τῇ ἱστορίᾳ Δωρικὴ ἀπὸ Πελοποννήσου εἰς Κρήτην μετανάστασις, ὡς παρ' Ἡροδότῳ, Κόνωνι, Πλουτάρχῳ καὶ ἄλλοις αὐτὴν ὁρῶμεν, ἀποτέλεσμά τι τῆς ἀνωμάλου καὶ ἐπὶ χρόνον ἀτελοῦς καταστάσεως τῶν Δωρικῶν ἐν Πελοποννήσῳ πραγμάτων, ἰδίᾳ δὲ τῶν ἐν Λακεδαίμονι, ἔοικεν εἶναι*[3]*. ἐπεὶ δὲ δύο Δωρικαὶ μεταναστάσεις εἰς Κρήτην ἐγένοντο καὶ κατὰ τὸν αὐτόν, ὡς λεχθήσεται, περίπου χρόνον, καὶ οἱ μετανάσται, οἷα Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, πρός τε ἀποφυγήν, ὡς ἔοικε, συγκρούσεων ἐν ἀλλήλοις καὶ πρὸς σύγχρονον προσβολὴν τῶν ἐγχωρίων ἔκ τε τῶν ἀνατολικῶν καὶ τῶν δυτικῶν τῆς νήσου, ἐπορεύθησαν ἀντιθέτως πλεύσαντες, πρῶτόν φαμεν περὶ τῆς κατ' ἀνατολὰς μεταναστάσεως, τῆς ἐκ Λακεδαίμονος ὁρμηθείσης, εἶτα δὲ καὶ περὶ τῆς κατὰ δυσμὰς τῆς νήσου, τῆς τῶν Ἀργείων.*

§ 65. *Ἡρόδοτος ἱστορεῖ*[4]*, ὅτι μικρὸν πρὸ τοῦ Θήραν τὸν Αἰγείδην*[5]*, ἀδελφὸν τῆς τῶν διδύμων βασιλέων Σπάρτης Εὐρυσθένους καὶ Προκλέους μητρός, τὴν εἰς τὴν νῆσον Καλλίστην, τὴν ἀπ' αὐτοῦ Θήραν μετονομασθεῖσαν, Δωρικὴν ἀποικίαν ἀγαγεῖν, ἀπέβησαν κατὰ τὸ ὄρος Ταΰγετον Μινύαι Πελασγοί, Λήμνου τε καὶ Ἴμβρου ἐκβληθέντες ὑπὸ τῶν ἐξ Ἀττικῆς αὖθις ἐκδιωχθέντων Πελασγῶν, ἴσως ὑπὸ τοῦ πλήθους τῶν ἐκεῖσε καταφυγόντων ἐκ Πελοποννήσου μετὰ τὴν*

1) *Ὅρα* § 50.

2) *Καὶ ἐνταῦθά φαμεν διὰ βραχέων, ὅτι οἱ Δωριεῖς περιεπλάκησαν τῇ ποιητικῇ ῥύμῃ ἐν τῇ περὶ τῶν λαῶν τῆς Κρήτης διηγήσει ἐκείνῃ τοῦ Ὀδυσσέως, ἐφ' οὗ, ὡς κατὰ πλάτος ἐν τοῖς ἔμπροσθεν εἴρηται, οὐκ ἠκούετο τὸ παράπαν Δωρικὸς λαός, διό πέρ εἰσιν οἱ Δωριεῖς ἐκεῖνοι ἐν τῷ τοῦ Ὀδυσσέως στόματι ποιητικὸς ἀναχρονισμός, ὃς οὐδὲν ἧττον δείκνυσιν, ὅτι ἐπὶ τοῦ Ποιητοῦ καθεσταμένοι ἤδη οἱ Δωριεῖς ἐν τῇ νήσῳ ἦσαν.*

3) *Πλούταρχος (ἐν Ἀποφθέγμ.* I, 34), *Ἡσύχ. (ἐν λ. Λιμοδωριεῖς.), Σουΐδας, Φώτιός φασι λιμῷ τοὺς Δωριεῖς ἐξαναγκασθέντας ὑπὸ τὸν Ἀλθαιμένη ἐκ Πελοποννήσου μεταναστῆναι· ἀλλὰ τοῦτό γ' ἴσως ὅσον τὸ ἐπὶ τοὺς ἐξ Ἄργους ὁρμηθέντας, ἀλλὰ μὴ τοὺς ἐκ Λακεδαίμονος, ἄλλως τε ὅρα ὅπου καὶ ἐν τίσι Δωριεῦσι τὸ ἐπίθετον Λιμοδωριεῖς ἐλέχθη Σκύλ. περιπ.* 62, *Δίδυμ. π. Ἡσυχίῳ ἐν λέξει Λιμοδωριεῖς.*

4) *Ὅρα Βιβλ.* IV, 145—149. *παράβ. καὶ* Valer. Maxim. IV, c. 6.

5) *Οὗτος τὴν ἀρχὴν εἶχε τοῦ γένους ἀπ' Οἰδίποδος καὶ Κάδμου, δηλαδὴ ἀπὸ τῶν Καδμείων, κλάδου τινὸς, ὡς ἄλλοθί ποθι ἡμῖν εἴρηται, Πελασγικοῦ, ὧν οἱ ἐπελθόντες ἐξ Ἄρνης τῆς ἐν Αἰολίδι ἢ Θεσσαλίᾳ Βοιωτοὶ ἐπεκράτησαν. ἴσως δ' ὁ Θήρας κατέφυγε μετὰ τὸ γεγονὸς τοῦτο*

Ἡρακλειδῶν κάθοδον. οἱ Μινύαι οὗτοι ἐπὶ λόγῳ ὅτι ἦσαν ἀπόγονοι τῶν εἰς Λῆμνόν ποτε καταχθέντων Ἀργοναυτῶν, οἷς καὶ οἱ Λακεδαιμόνιοι ἥρωες Κάστωρ τε καὶ Πολυδεύκης συνηριθμοῦντο, ἠξίουν οὐ μόνον ἀσύλου ἐν τῇ τῶν ἡρωϊκῶν προγόνων χώρᾳ τυχεῖν, ἀλλὰ καὶ τῶν πολιτικῶν πραγμάτων αὐτῆς μετασχεῖν. ταῖς ἀξιώσεσι ταύταις τῶν ἐπηλύδων ἔδει τοὺς πρὸ μικροῦ ἐν Σπάρτῃ καθεσταμένους Δωριεῖς μὴ μόνον ὑποχωρῆσαι, μὴ βουλομένους γε τὰς τάξεις τῶν ἀνθισταμένων αὐτοῖς Ἀμυκλαίων συμπυκνώσασθαι, ἀλλὰ καὶ ἐπιγαμίας μετ' αὐτῶν ποιήσασθαι, ὃ ὑπὸ Πλουτάρχου ἱστορούμενον Οἴκκιος οὐ παραδέχεται ὡς ἀντιβαῖνον, καθ' ἅ φησιν οὗτος, τοῖς ἀστικοῖς τῶν Δωριέων νόμοις[1]). ἀλλ' ἐπεὶ οἱ Μινύαι, τῇ ἀνωμάλῳ τῶν ἐν Λακεδαίμον πραγμάτων καταστάσει θαρροῦντες, μᾶλλον πρὸς τοὺς Σπαρτιάτας ἐθρασύνοντο, ἀντιποιούμενοι καὶ τῆς μετοχῆς τοῦ ἐν Σπάρτῃ βασιλικοῦ ἀξιώματος, ὅπερ μόνοις τοῖς ἀφ' Ἡρακλέους ὥριστο, καὶ μὴ δυνάμενοι τούτου τυχεῖν, ἐν ὑπονοίᾳ ἦσαν τοῖς πολεμοῦσι τοῖς Δωριεῦσιν Ἀμυκλαίοις καὶ Εἵλωσι κοινολογεῖσθαι, κατεδιώχθησαν πολυτρόπως, ἡττηθέντες δ' ἠναγκάσθησαν, τῇ τῶν Περιοίκων τάξει περιελθόντες, οἱ μὲν αὐτῶν ὑπὸ ταῖς ἀνατολικαῖς αὖθις τοῦ Ταϋγέτου ὑπωρείαις, ἐν τῷ Ἀμυκλαίῳ νομῷ, εἰς ὃν τὸ πρῶτον ἀπέβησαν, συσταλῆναι, οἱ δὲ τῆς Λακεοαίμονος ἐκχωρήσαντες εἰς Τριφυλίαν ἀπελθεῖν, οἱ δὲ τῆς εἰρημένης ὑπὸ τὸν Θήραν μεταναστάσεως μετασχεῖν. ταῦτα, ὡς ἔοικε, συνέβη ἐν τῇ πρώτῃ γενεᾷ μετὰ τὴν εἰς Λακεδαίμονα τῶν Δωριέων εἰσέλασιν γενέσθαι. ἀλλὰ κατ' ἀρχὰς τῆς τρίτης, ἑξήκοντα περίπου ἔτη μετὰ τὴν Ἡρακλειδῶν κάθοδον, καθ' ἃ Κόνων ὁ γραμματικὸς διηγεῖται[2]), οἱ ἀπο-

εἰς τὸ ἐγγὺς ἄσυλον, τὴν Δωρικὴν Τετράπολιν, ὅπου τὴν ἀδελφὴν Ἀργείαν τῷ Ἡρακλείδῃ Ἀριστοδήμῳ εἰς γυναῖκα ἔδωκεν. ἡ γενεαλογικὴ δὲ σειρὰ ἀπ' Οἰδίποδος μέχρις αὐτοῦ οὕτως ἔχει· Οἰδίποδος, Πολυνείκης, Θέρσανδρος, Τισαμενός, Αὐτεσίων, Θήρας καὶ Ἀργεία. ὅρα καὶ ἔμπροσθεν § 59.

1) Ὅρα Hoeck, II, 424. — Ἡ γνώμη αὕτη, ὡς ἡγούμεθα, τοῖς τῶν Σπαρτιατῶν νομίμοις προσήκει, τοῖς ὑπὸ Λυκούργου διαταχθεῖσιν, ἀλλ' οὐ τοῖς καθ' ὅλου Δωρίοις, τοῖς κατὰ Πίνδαρον τεθμοῖς Αἰγιμιοῦ. καὶ τὰ ἄλλοθί ποθι λεχθέντα περὶ τῶν ἐν τοῖς Δωριεῦσι συναναμιχθέντων ἐκ διαφόρων λαῶν στοιχείων, καὶ δὴ τὰ περὶ τῆς Ὑλλέων καὶ Παμφύλων φυλῆς, συνηγορεῖ, ὡς ἡγούμεθα, τῇ γνώμῃ ἡμῶν ταύτῃ. ὅρα καὶ Schömann's gr. Alterth. I, 217 καὶ 218. — Πλούταρχος, ὡς κατωτέρω λεχθήσεται, φησι τοὺς ἀποβάντας τούτους, κατὰ τὸν Ταΰγετον ἐπήλυδας μὴ εἶναι Μινύας, ἀλλὰ Τυρρηνοὺς Πελασγούς· τοῦτο ἀναχρονισμός ἐστιν, οἱ γὰρ Τυρρηνοὶ Πελασγοὶ ὑπὸ Μιλτιάδου Λήμνου καὶ Ἴμβρου ἐξεβλήθησαν. ὅρα Ἡρόδ. V, 26, καὶ VI, 140.

2) Ὁ συγγραφεὺς οὗτος ἔζη ἐν Ῥώμῃ περὶ τὸ 30, π. Χ. συνέγραψε δὲ περὶ τὰς 50 Διηγήσεις μυθικῶν καὶ ἡρωϊκῶν χρόνων, ἰδίως ἱδρύσεις ἀποικιῶν λίαν περιεκτικῶς πραγματευομένας· τούτων δὲ διεσώθησάν τινες μόνον παρὰ Φωτίῳ. ἐν τῇ περὶ τῶν Μινυῶν δὲ τούτων διηγήσει φησίν, ὅτι αὐτούς ποτ' ἐκ Λήμνου καὶ Ἴμβρου εἰς Λακεδαίμονα ὁ Ἀχαιὸς Φιλόνομος, ὁ τοῖς Δωριεῦσι προδοὺς τὴν Σπάρτην, ἐπ' οἰκισμῷ τοῦ δω-

λειφθέντως τῶν Μινυῶν τούτων οὕτω τοῖς Σπαρτιάταις ἠνώχλουν, συμπράττοντες τῇ ἔτι ἀνθισταμένῃ αὐτοῖς πόλει τῶν Ἀμυκλαίων, ὥστ' ἐξεβλήθησαν ὅλως τῆς χώρας εἰς Κρήτην ὡς Περίοικοι μετ' Ἀχαιῶν[1]) ἐκπεμφθέντες ὑπὸ τοὺς Δωριεῖς ἀρχηγοὺς Πόλλιν καὶ Δελφόν, οἳ ἦγον ἐν τῷ αὐτῷ καὶ Δωριεῖς εἰς τὴν νῆσον ὡς κυρίαρχον στοιχεῖον. ὅτι δ' οἱ Μινύαι οὗτοι οὐχ ὡρμῶντο ἐκ τῆς Ἀμυκλαίων πόλεως, ὡς συγκεχυμένως Κόνων περὶ τούτου διηγεῖται, ἀλλ' ἐκ τοῦ Ἀμυκλαίου νομοῦ, ἔνθα τὴν ἀρχὴν ἐνιδρύθησαν, ὡς σαφέστερον Νικόλαος ὁ Δαμασκηνὸς ὥρισε[2]), καὶ ὅτι Δωριεῖς ἐγένοντο οἵ τε ἀρχηγοὶ καὶ τὸ κύριον τῶν μεταναστάντων μέρος, δῆλον τὸ μὲν τῇ ἐν Πελοποννήσῳ διαμονῇ τε καὶ τῷ ἀνυποτάκτῳ τῶν ἐν Ἀμύκλαις Ἀχαιῶν μέχρι τοῦ πρώτου Μεσσηνιακοῦ πολέμου· εἰ μὴ γὰρ ᾤκουν οἱ Μινύαι ἐν τῷ Ἀμυκλαίῳ νομῷ, ἀλλ' ἐν τῇ Ἀμυκλαίων πόλει, ἀπολειφθείησαν ἂν ἐν Πελοποννήσῳ μετὰ τῶν ἄλλων τῆς πόλεως ταύτης Ἀχαιῶν· τὸ δὲ τῇ ἐκδωριωθείσῃ κατὰ μικρὸν ὅλῃ σχεδὸν Κρήτῃ, καὶ δὴ τῇ πρῶτον αὐτοῖς ἐποικισθείσῃ Κρητικῇ μεγαλοπόλει Λύκτῳ, ἧς ἥτε πολιτεία καὶ τἄλλα πάντα συγγενῆ τοῖς ἐν Σπάρτῃ κατ' Ἀριστοτέλη ἦν[3]), καὶ τῇ καθ' Ὅμηρον τειχιοέσσῃ Γόρτυνι. τούτοις δὲ προσεπιμαρτυρεῖ καὶ ὁ ἄκρατος Δωρισμὸς τῆς νήσου Μήλου, τῆς μοίρᾳ τινὶ τῶν αὐτῶν Δωριέων ἐποικισθείσης καὶ ἀεὶ τοῖς Σπαρτιάταις Δωριεῦσι πιστοτάτης διατελεσάσης[4]). Πλούταρχος δὲ ταὐτὰ πραγματευόμενος[5]), συγχεῖ τοὺς Ἡροδότου καὶ Κόνωνος Μινύας τοῖς Τυρρηνοῖς Πελασγοῖς, οἳ ἐξέβαλον ἐξ Ἀττικῆς ὁρμώμενοι τοὺς Μινύας καὶ ἐπὶ Μιλτιάδου μόνου Λήμνου καὶ Ἴμβρου καὶ αὐτοὶ ἐξεβλήθησαν[6]), καὶ ὧν μοῖρά τις, πιθανόν, καθ' Οἴκκιον[7]), συναπέβη τοῖς Μινύαις ἐκείνοις κατὰ τὸν Ἀμυκλαῖον νομὸν μεταλαβοῦσα διὰ τέλους τῆς αὐτῆς τύχης.

ρηθέντος αὐτῷ πρὸς ἀνταμοιβὴν Ἀμυκλαίου νομοῦ. ὅρα Διήγησιν 36, παράβ. καὶ Στράβ. VIII. 365.

1) Ὅρα Hoeck, II, 421—423.

2) Ὅρα σελ. 40, ed. Orelli. — Οὗτος σαφηνίζων τὰ περὶ τούτου φησὶ τοὺς Μινύας ἐν τῷ Ἀμυκλαίῳ νομῷ ἐνιδρύσθαι, ἀλλὰ μὴ ἐν τῇ πόλει Ἀμύκλαις.

3) Ὅρα Πολιτ, II, 10, παράβ. καὶ Στράβ. X, 481, καὶ Παυς. IV, 54. — Βέβαιον ὅτι ἐν Σπάρτῃ καὶ Λύκτῳ ὑπέκειτο τοῖς νομίμοις βάσις τὰ ἀνέκαθεν οἰκεῖα τοῖς Δωριεῦσιν, οἱ τεθμοὶ Αἰγιμιοῦ· ἀλλ' οὐδὲν ἧττον βέβαιον, ὅτι οἱ ἐν Κρήτῃ Δωριεῖς παρέλαβον ἐκ τῶν ἀρχαίων τῆς νήσου πολιτικῶν διατάξεων τὰς προσφόρους αὐτοῖς, ἐξ ὧν καὶ Λυκοῦργος μετήνεγκεν εἰς Σπάρτην πολλούς. ἐκ τούτων ἡ ἐν πολλοῖς ὁμοιότης ἀμφοτέρων τῶν πολιτευμάτων, ἀλλὰ μὴ ἐν πᾶσι.

4) Ὅρα Θουκ. V, 84. Κόνωνος Διηγ. 36. Πλούταρ. ἐν Αἰτ. Ἑλλην. κ. 13. Müller's Orchomenos, p. 336.

5) Ἐν Αἰτ. Ἑλλην. κ. 21, καὶ ἐν τῷ Περὶ ἀρετῶν γυναικῶν, VII, σ. 15, Reisc. παράβ. καὶ Πολυαίνου Στρατηγικά, VII, 49. οὗτος ἐν VIII, 71 ἀντιφάσκων τοῖς προτέροις καὶ συμφωνῶν ἐνταῦθα τῷ Ἡροδότῳ, φησὶ τούτους Μινύας, ἀλλὰ μὴ Τυρρηνοὺς Πελασγούς.

6) Ὅρα Ἡρόδ. V, 26, καὶ VII, 140. 7) Ὅρα Hoeck, II, 427.

§ 66. *Τούτοις οὖν τοῖς Ἡροδότου καὶ Κόνωνος Μινύαις, ἢ τοῖς κατὰ σύγχυσιν, ὥσπερ ἔφημεν, Τυρρηνοῖς Πλουτάρχου Πελασγοῖς, συνεξέπλευσαν τοῦ Λακωνικοῦ κόλπου οἱ Δωριεῖς ὑπὸ Πόλλιν καὶ Δελφόν, ἢ ὑπὸ Πόλλιν καὶ ἀδελφὸν Κραταΐδα*[1]), *ἐπ᾽ ἀνατολὰς τραπέντες. ἐν τῷ διάπλῳ δὲ μοῖράν τινα μεταναστῶν εἰς τὴν νῆσον Μῆλον ἀποβιβασάμενοι, προῆγον πρὸς ἀνατολὰς πλέοντες καὶ τέλος κατήχθησαν εἰς Χερσόνησον, πόλιν κειμένην ἐν ταῖς βορειοανατολικαῖς τῆς Κρήτης παραλίαις καὶ ἐπίνειον Λύκτου οὖσαν*[2]). *ἐντεῦθεν φόβῳ πανικῷ ὑπὸ νύκτα ταχέως ἀποπλεύσαντες ἀνήχθησαν, ἀλλ᾽ ἀναζητήσαντες οὐχ εὗρον τὸ τῆς Βραυρωνίας Ἀρτέμιδος ξόανον, κατελέλειπτο γὰρ τῇ βιαίᾳ ἀναγωγῇ ἐπὶ τῆς Χερσονήσου παραλίας, ἅμα δ᾽ εἶδον τὸν ὀδόντα τῆς ἀγκύρας τῆς Πόλλιδος νηὸς κατεαγμένον ὄντα, οὕτω δ᾽ ἔγνωσαν ᾐνιγμένον τὸν χρησμὸν τοῦ μαντείου χρήσαντος αὐτοῖς ἀποβῆναι ἔνθ᾽ ἂν τήν τε θεόν καὶ τὴν ἄγκυραν ἀπολέσειαν. ἐπανακάμψαντες οὖν ἀπέβησαν εἰς Χερσόνησον, εἶτ᾽ ἐχώρησαν κατ᾽ εὐθεῖαν πρὸς τὰ τῆς νήσου μεσόγεια, πρὸς τὰς βορειοδυτικὰς τῆς Δίκτης ὑπωρείας τραπέντες, ὅπου ἡ παναρχαία καὶ μεγάλη πόλις ἔκειτο Λύκτος, ἣν κατέσχον μετά τινας πρὸς τοὺς ἐγχωρίους συγκρούσεις*[3]). *διαταξάμενοι δὲ τὰ κατ᾽ αὐτὴν ὡς*

1) *Κόνων μὲν (ἐν Διηγ.* 33 *και* 49) *καλεῖ τοὺς τῆς μεταναστάσεως ἀρχηγοὺς Πόλλιν καὶ Δελφόν· Πλούταρχος δ᾽ ἐν μὲν τῷ Περὶ ἀρετῶν γυναικῶν φησι* (VII, σ. 16.) *τούς Τυρρηνοὺς Πελασγοὺς σχεῖν ὁδηγοὺς ʽΠόλλιν καὶ ἀδελφὸν καὶ Κραταΐδαʼ, ἐν δὲ τῷ Αἰτίαι Ἑλληνικαὶ* (VII, σ. 146), *ʽΠόλλιν καὶ τὸν ἀδελφόνʼ. λίαν οὖν πιθανὸν ὅτι ἐκ τῆς Κόνωνος γραφῆς Δελφὸς τὸ α ἐξηλείφθη· Πλούταρχος γὰρ ἐν μὲν τῷ πρώτῳ χωρίῳ φησί, ʽκαὶ ἀδελφὸν καὶ Κραταΐδαʼ, ἐν ᾧ ἴσως παρεισέφρησεν ὁ καί· ἐν δὲ τῷ δευτέρῳ, ʽκαὶ τὸν ἀδελφόν.ʼ*

2) *Ὅρα καὶ Στάφυλον π. Στράβ.* X, 728. — *Ἀπὸ τῆς πόλεως ταύτης καλεῖται νῦν ὁ ἐπίσκοπος τῆς καθ᾽ ἡμᾶς ἐπαρχίας Πεδιάδος, ἐν ᾗ καὶ ἡ Λύκτος πάλαι ἔκειτο, ʽἐπίσκοπος Χερρονήσουʼ.*

3) *Ἡ εὐχερὴς χείρωσις οὕτως ἀρχαίας καὶ μεγάλης πόλεως (ὅρα* Hoeck, I, 16 *κτέ., καὶ* II, 431 *κτέ.) ἐνισχύει τὴν παράδοσιν, ὡς μετὰ τὰ Τρωϊκά, Ἰδομενέως, ὡς ἔοικε, τελευτήσαντος, ἔτι πλέον τὸ μοναρχικὸν διεσπάσθη ἀξίωμα (καὶ Ἰδομενεὺς γὰρ οὐ φαίνεται ἄρχων ἐπὶ παντὸς τοῦ βασιλείου τοῦ πάππου αὐτοῦ Μίνωος. ὅρα καὶ ἔμπροσθεν,* § 12) *καὶ πολλαὶ κατὰ πόλεις συνέστησαν πολιτεῖαι, οἵα ἡ ἐφ᾽ Ἡροδότου ἔτι σωζομένη (ὅρα βιβ.* IV, 154.) *ἐν τῇ πόλει τοῦ καλουμένου βασιλέως Ἐτεάρχου (πενθεροῦ Πολυμνήστου Θήρας ἡγεμόνος καὶ πάππου Βάττου τοῦ Κυρήνης θεμελιωτοῦ) Ὀαξῷ, πρὸς δυσμὰς κειμένῃ Κνωσοῦ, καὶ νῦν Ἀξῷ καλουμένῃ (ἐν τῇ καθ᾽ ἡμᾶς ἐπαρχίᾳ Αὐλοποτάμῳ). αἱ κατὰ πόλεις αὗται πολιτεῖαι ἤρξαντο ἐξ ἐκείνου ἀλλήλοις διαπληκτίζεσθαι καὶ ἐξασθενεῖν. ἐὰν δ᾽ ἀποβλέψωμεν εἴς τε τὴν ἐπὶ τῆς ἀποβάσεως τῶν Δωριέων ἐν τῇ νήσῳ εὐχερῆ τῆς Λύκτου χείρωσιν καὶ τὴν μετὰ τὴν Δωρικὴν αὐτῆς ἐποίκισιν ἐχθρικὴν ἀντίθεσιν πρὸς τὴν γείτονα καὶ μεῖζον δυναμένην Κνωσόν, ὑφ᾽ ἧς τέλος καὶ κατεστράφη (ὅρα Πολύβ.* IV, 54.), *ἐπειγόμεθα ἀποδέξασθαι, ὡς πρώτη μετ᾽ Ἰδομενέα τῆς μοναρχικῆς ἕδρας, τῆς Κνωσοῦ, ἀποσπασθεῖσα ἡ Λύκτος ἦν, διὸ καὶ ἐπεσπάσατο ἑαυτῇ τὴν διηνεκῆ ὀργὴν τῆς ἀεὶ ὑπερεχούσης καὶ μὴ ἐκδωριωθείσης (ὅρα περὶ τούτου* Hoeck, II, 445—447) *μητροπόλεως Κνωσοῦ· ταύτῃ τῇ πρωΐμῳ τῶν Κρητικῶν πόλεων διαρρήξει καὶ κακῇ καταστάσει θαρροῦν-*

προσφορώτερον τῷ Δωρισμῷ ἦν, προὐχώρησαν ἐπὶ τὰ ἐνδότερα, νοτιοδυτικῶς τραπέντες, καὶ κατέσχον Γόρτυνα καὶ Φαιστόν, ὁπόθεν ἴσως καὶ ἐκ Λύκτου, ἐπελθόντων καὶ ἄλλων μεταναστῶν ἐκ Λακεδαίμονος[1]), ἐξέτειναν τῷ χρόνῳ τὴν Δωρικὴν κυριαρχίαν ἐπὶ τὰς πλείστας πόλεις τῆς τε ἀνατολικῆς καὶ τῆς μέσης Κρήτης. ταῦτα περὶ τοῦ κατ' ἀνατολὰς Κρήτης Δωρικοῦ ἐποικισμοῦ τοῦ ὑπὸ τὴν Σπάρτης ἐποπτείαν τελεσθέντος.

§ 67. *Περὶ δὲ τοῦ πρὸς δυσμὰς διηγεῖται Κόνων*[2]), ὅτι ὁ ταύτῃ τοὺς Δωριεῖς ἀγαγὼν Ἡρακλείδης Ἀλθαιμένης, υἱὸς Κείσου (ἢ Κίσσου) τοῦ Ἀργείων βασιλέως καὶ ἔκγονος Τημένου, προσεκλήθη τοῖς ἐκ Λακεδαίμονος συγχρόνως αὐτῷ, ὡς εἴρηται, μετανισταμένοις τοῦ αὐτοῦ ἔργου μετασχεῖν, ὡς καὶ τοῖς ἐξ Ἀττικῆς εἰς Μικρασίαν Ἴωσιν ὑπὸ Νηλέα τὸν Κοδρίδην, ἀλλ' οὐκ ἀπεδέξατο τὴν πρόσκλησιν[3]), τραπεὶς ἐπὶ τὰ δυτικὰ τῆς νήσου, τὸ γράμμα πληρώσων καὶ αὐτὸς τοῦ χρησμοῦ τοῦ ἐν Δελφοῖς μαντείου, χρήσαντος πρὸς Δία καὶ Ἥλιον πλεῦσαι, δηλαδὴ πρὸς τὰς ἑστίας τῆς τῶν θεῶν Διὸς καὶ Ἡλίου λατρείας, Κρήτην καὶ Ῥόδον. καὶ εἰ μὲν Ἀλθαιμένης συνηνοῦτο Νηλεῖ, ἀποδέκτου γενομένου ὅτι καὶ ὑπ' αὐτοῦ προσεκλήθη, παρὰ τὸν χρησμὸν ἂν πράττοιεν Ἀπόλλωνος, ὃν ἴσμεν ὡς Ἡρακλεῖδαί τε καὶ Δωριεῖς τὸν νοῦν προσεῖχον μὴ παρακούειν μηδὲ παροργίζειν· συνενούμενος ὅμως Πόλλιδι[4]), οὐ προσέκρουε τοῖς ὑπὸ θεοῦ ἐντεταλμένοις. πλέοντες ἄρα ὁ μὲν πρὸς τὰ δυτικὰ τῆς νήσου, ὁ δὲ πρὸς τὰ ἀνατολικά, προὐτίθεντο, ἀλλήλοις τοῦτο κοινολογη-

τες οἱ ἐν Πελοποννήσῳ κατακτηταί, ἴσως δὲ καὶ ὑπὸ μερίδος τινὸς πολιτικῆς ἐν Λύκτῳ προσκαλούμενοι, ἀναγκαζόμενοι δὲ καὶ τοῖς ἐν Λακεδαίμονι, ὡς εἴρηται, πράγμασιν, ἐτόλμησαν καὶ εἰς Κρήτην μεταβῆναι.

1) Πλὴν τοῦ Δωρικοῦ ἐποικισμοῦ τῶν μεγαλοπόλεων Λύκτου, Γόρτυνος καὶ Φαιστοῦ, καὶ τῶν ἰδίᾳ τοῖς ἐκ Λακεδαίμονος μετανάσταις τούτοις κτισθεισῶν Ἀμυκλαίου, Θεράπνης, Φάριδος, ὁμωνύμων ταῖς ἐν Λακεδαίμονι, καὶ ἄλλαι ἐγένοντο ἐκεῖθεν ἐλάσσους μεταναστάσεις, αἷς ἐπυκνώθη μᾶλλον ὁ Δωρικὸς ἐν τῇ νήσῳ πληθυσμὸς καὶ πόλεις ἄλλαι ἐξ αὐτῶν τὴν ἀρχὴν ἔσχον, οἷαι ἡ Αἴπεια, Αὐλὼν (νῦν Αὐλοπόταμον), Βοιαί, Ἥτεια (ἢ Ἧτις) καὶ ἄλλαι· ὅρα καὶ Hoeck, II, 431—437, καὶ 441, και 442, και Müller's Dorier, I, c. 1, § 9.

2) Ὅρα Διήγ. 48 καὶ 49.

3) Ὁ συγγραφεὺς διηγεῖται, ὅτι καὶ ὁ ἐξ Ἀττικῆς εἰς Μικρασίαν συγχρόνως Ἀλθαιμένει Ἰώνων ἀποικίαν ἄγων Νηλεὺς προσεκάλεσεν αὐτὸν μετασχεῖν τῆς ἀποικίας ταύτης· ἀλλ' ἐπιτραπήτω ἡμῖν διστάζειν περὶ τούτου· ἀπόγονος γὰρ Μελάνθου καὶ Κοδρίδης οὐχ οἷόν τ' ἦν Ἡρακλείδῃ εὐνοεῖν καὶ δὴ τῷ ἀρχηγῷ τοῦ εἰς Ἀττικὴν ἐμβαλόντος Δωρικοῦ στρατοῦ, ᾧ καὶ Κόδρος ὁ πατὴρ αὐτοῦ ἀπώλετο.

4) Ὅσῳ ποτ' ἂν οἱ ἐξάμετροι τῆς Πυθίας χρησμοί τοῖς ἄλλοις Ἕλλησι δυσξύμβλητοι ἦσαν, ἀλλ' οὖν γε τοῖς ἀγαπητοῖς τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος Δωριεῦσι, καὶ δὴ τοῖς αὐτῶν ἡγεμόσιν εὐχερῶς τε καὶ ῥαδίως ἐνοοῦντο· διὸ καὶ Πόλλις ᾔδει ἀρχῆθεν ὅπου τὴν θεόν καὶ τὴν ἄγκυραν ἀπολέσειε, καὶ Ἀλθαιμένης αὐτῷ κοινολογησάμενος ἔδει πρὸς Δία καὶ Ἥλιον πλεῦσαι.

σάμενοι, καὶ τοῖς Κρησὶν Ἀχαιοῖς ἐν τῷ αὐτῷ χρόνῳ προσβαλεῖν, ἐφορμῶντες αὐτοῖς ἐξ ἀμφοτέρων τούτων τῶν μερῶν, ὡς καὶ ἐν Πελοποννήσῳ ἐποίησαν, οὕτω δὲ σχεῖν καὶ ἐνταῦθα εὐχερῶς καὶ ῥαδίως τὸ αὐτὸ ἀποτέλεσμα· ἐν τῇ τρίτῃ δ' ἀπὸ Τημένου γενεᾷ καὶ οἱ τέσσαρες τῶν Ἀρακλειδῶν (μετὰ τοῦ ἐν Κορίνθῳ) ἡγεμονικοὶ οἶκοι ἐν ἀδελφικῇ ἔτι διῆγον ἁρμονίᾳ, αὐτὸς δ' Ἀλθαιμένης προτροπῇ τῶν Κρεσφοντιδῶν καὶ κοινῇ τῶν Ἡρακλειδῶν ἀποφάσει ἐστράτευε σὺν τῷ ἐν Κορίνθῳ Ἀλήτῃ ἐπὶ τοὺς ἐν Ἀττικῇ ἀθροισθέντας Νηλείδας καὶ ἄλλους Πελοποννησίους πρόσφυγας.

§ 68. Οὗτος οὖν ὁ Ἀλθαιμένης, διενεχθεὶς πρὸς τὸν ἀδελφὸν Μήδωνα[1]), παρέλαβε μοῖράν τινα τῶν ὑπ' αὐτὸν εἰς Ἀττικὴν στρατευσάντων, εἶτα δὲ Μέγαρα ἐποικισάντων Δωριέων, καὶ Ἀχαιοὺς ἐξ Ἄργους τε καὶ Μυκηνῶν καὶ πλεύσας εἰς Κρήτην, ἀπέβη τὸ πρῶτον, ὡς ἔοικε, κατὰ τὴν Κυδωνίας παραλίαν τὴν πρὸς τὸν Ἀργολικὸν ἀπονεύουσαν κόλπον. ὡς γὰρ Πόλλις τῇ ἐν τοῖς ἀνατολικοῖς τῆς νήσου μεγάλῃ πόλει Λύκτῳ προσέβαλεν, οὕτως ἔδει καὶ Ἀλθαιμένη ποιῆσαι πρὸς τὴν ἐν τοῖς δυτικοῖς τὰ μέγιστα ἰσχύουσαν Κυδωνίαν. ὡς δ' αἱ ἐν τοῖς ἀνατολικοῖς Λύκτος, Γόρτυν καὶ Φαιστὸς ἡ ἀφετηρία τῆς κατ' αὐτὰ ἐκδωριώσεως τῆς νήσου ἐγένοντο, οὕτω καὶ ἐν τοῖς δυτικοῖς Κυδωνία, Λάππα (ἢ Λάμπη), Τάρρα καὶ Ἔλυρος τὸ ἐφ' ἑαυταῖς. οἱ μὲν γὰρ Κυδωνιᾶται καὶ λέγονται Ὑλλεῖς ἀπό τε τῆς μοίρας τῆς ἐν τοῖς Δωριεῦσι φυλῆς τῶν Ὑλλέων, ἣν Ἀλθαιμένης εἰς Κυδωνίαν ἐξ Ἄργους ἤγαγε, καὶ ἀπὸ τῶν Αἰγινητῶν Δωριέων[2]), καὶ φαίνονται Λακεδαιμονίοις

1) Ὅρα Κόνωνος Διήγ. 47, καὶ Εὐστάθιον ἐν Ἰλ. Β, σελ. 313. ἴδε καὶ τὰ ἐν τῇ § 64, παράβαλε δὲ τούτοις καὶ τὴν ἐν αὐτῇ 3 ὑποσημείωσιν.

2) Ὅρα Hoeck, II, 439—440, καὶ Müller's Dorier, III, C. V, § 1, καὶ Aeginet. p. 250. — Ἡρόδοτός φησιν (ἐν βιβ. III, 59), ‘αὐτοὶ δ' οἱ Σάμιοι Κυδωνίην τε τὴν ἐν Κρήτῃ ἔκτισαν, οὐκ ἐπὶ τοῦτο πλέοντες, ἀλλὰ Ζακυνθίους ἐξελῶντες ἐκ τῆς νήσου. ἔμειναν δ' ἐν ταύτῃ καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε· ὥστε τὰ ἱερὰ τὰ ἐν Κυδωνίῃ ἐόντα νῦν οὗτοί εἰσιν οἱ ποιήσαντες καὶ τὸν τῆς Δικτύνης νηόν· ὀκτὼ δ' ἔτη Αἰγινῆται αὐτοὺς ναυμαχίῃ νικήσαντες, ἠνδραποδίσαντο μετὰ Κρητῶν'. — Τοῖς λόγοις τούτοις Ἡροδότου δῆλον γίγνεται, ὅτι καὶ ἄλλοι ἀπῇρον εἰς Κρήτην μετανιστάμενοι οὐ μόνον ἐκ Πελοποννήσου, ἀλλὰ καὶ τῆς ἄλλης Ἑλλάδος· οἱ μὲν γὰρ Ζακύνθιοι ἔκ τε τῶν Ἀρκαδίας Πελασγῶν (ὅρα Στέφ. Βυζ. ἐν λ. Ζάκυνθος καὶ Ψωφίς. Εὐστάθ. ἐν Ἰλ. Β, 634. Παυσ. VIII, 24 καὶ Διόδ. XV. 45) καὶ τῶν Ἀχαιῶν τῶν μετὰ τὴν Δωρικὴν εἰς Πελοπόννησον ἐμβολὴν εἰς Ζάκυνθον προσφυγόντων (ὅρα Θουκ. II, 66 καὶ Ἡρόδ. I, 145), ὄντες, πρῶτοι ἐν Κυδωνίᾳ ἱδρύθησαν μετὰ τὴν Ἀλθαιμένους μετανάστασιν· εἶτα δὲ Σάμιοι Ἴωνες ἐκ τῶν ὑπὸ Πολυκράτους τῆς νήσου ἐξωσθέντων και ἐποικισάντων τὴν νῆσον Ὑδρέαν (ὅρα Ἡρόδ. III, 58 καὶ 59. Παυσ. II, 34, 9. Ἑκατ. π. Στεφ. Βυζ. ἐν λ. Ὑδρεία. Ἡσύχ. ἐν φράσει, ‘Ὕδρα νῆσος ἐντελὴς Δολόπων'. καὶ Ζωναρ. σελ. 1762.) καὶ ἐξ αὐτῆς Κυδωνίαν, ἧς τοὺς Ζακυνθίους ἀπήλασαν (ὅρα τὴν αἰτίαν ἐν Müller's Aeginet. p. 112)· τούτους δὲ κατεστρέψαντο καὶ ὑπέταξαν Αἰγινῆται Δωριεῖς μετὰ Κρητῶν, δῆλα δὴ προτέρων Δωριέων, ἐν Ὀλυμπιάδι 64, 2 (519 p. X. — ὅρα Müller's Aeginet. p. 113).

συμμαχοῦντες ἐν τῷ Πελοποννησιακῷ πολέμῳ[1]). Λαμπαῖοι δὲ συμπαθοῦσι Λυκτίοις καὶ ἐν τῇ πόλει ὑποδέχονται, καταστραφείσης τέλος ἄρδην τῆς αὐτῶν ὑπὸ Κνωσίων[2])· ἐν δ' Ἐλύρῳ καὶ Τάρρᾳ[3]) μεταφυτεύεται ἡ Ἀπόλλωνος λατρεία σὺν τοῖς μύθοις καὶ ταῖς παραδόσεσι ταῖς περὶ τοῦ δράκοντος Πύθωνος καὶ τοῦ θεοῦ τούτου, ὃν ὁ ἐν τῇ νήσῳ Δωρικὸς μῦθος παρίστησι καταφεύγοντα καὶ ἐνταῦθα, ὡς ἐν τοῖς Τέμπεσι, πρὸς τὸν ἐξιλαστικὸν ἱερέα Καρμάνορα[4]), ὅς ἐκάθηρεν αὐτὸν τοῦ αἵματος τοῦ Πύθωνος[5]). ἐποικίσαντες οὖν καὶ οἱ περὶ Ἀλθαιμένη τὰς πόλεις ταύτας, ἐξέτειναν καὶ οὗτοι τὸν Δωρισμὸν ἀπὸ δυσμῶν πρὸς ἀνατολὰς μέχρις Ἴδης, ὅπου τοῖς περὶ Πύλλιν συνήντων. ἐπεὶ δὲ καὶ τοῖς Δωριεῦσι τούτοις συναπέβησαν εἰς τὴν δυτικὴν Κρήτην Πελοποννήσιοι Ἀχαιοί, ἐξ Ἄργους, Μυκηνῶν καὶ Κορίνθου ὁρμώμενοι, δέον αὐτοῖς ἀποδοθῆναι τὴν κατ' αὐτὴν τῶν πόλεων Μυκηνῶν, Περγάμου, Πολυρρηνίας καὶ ἄλλων κτίσιν· τούτοις γὰρ μόνοις διέφερε αὐταῖς ὀνόματα ἀπονεῖμαι πόλεων, ἐξ ὧν περ ὡρμῶντο, τοῖς δ' ἀπογόνοις αὐτῶν τὴν πρώτην ἀνάγειν θεμελίωσιν τοῖς Ὁμήρου ἥρωσιν Ἀγαμέμνονι καὶ Μενελάῳ[6]).

§ 69. *Αἱ δύο αὗται* ἀποικίαι εἰσὶν αἱ διασημότεραι τῶν ἐκ Πελοποννήσου εἰς Κρήτην ὁρμηθεισῶν· αὗται δὲ σὺν ἑτέραις ἐλάσσοσι κατὰ καιροὺς ἐκ τοῦ αὐτοῦ ὁρμωμέναις ἐξεδωρίωσαν τὴν νῆσον κατὰ μικρόν· πολιτεία γάρ, ἔθιμα, Ἀπόλλωνός τε καὶ Ἡρακλέους λατρεία καὶ διάλεκτος[7]) συγγενῆ τοῖς

1) Ὅρα Θουκυδ., II, 85. Müller's Aeginot. p. 113 καὶ ἔμπροσθεν § 17.
2) Πολύβ. IV, 54.
3) Ἀμφοτέρωθεν τῶν Λευκῶν ὀρέων ἵδρυντο αἱ δύο αὗται τοῦ Δωρισμοῦ κύριαι ἕδραι, ἡ μὲν ἐν τῇ νῦν ἐπαρχίᾳ Σελίνῳ (ἐν τῷ τμήματι Ῥοδοβάνι, μικρὸν πρὸς ἀνατολὰς τοῦ χωρίου Τεμενίων), ἡ δ' ἐν τοῖς ὁρίοις τῶν νῦν ἐπαρχιῶν Ἁγ. Βασιλείου καὶ Σφακίων· ταύταις, ὡς ἔοικε, συνῳκίσθησαν αἱ πέριξ ἐλάσσους Δωρικαὶ πόλεις Ὕρτακος ἢ Ὑρτακίνη (νῦν Τεμένια), Λίσσος ἢ Λίσσα, Συΐα, Καινοὶ (μικρὸν πρὸς βορρᾶν τῆς νῦν Σαμαριᾶς), Ἀράδην ἢ Ἀνώπολις καὶ ἄλλαι, αἷς ἡ τῇδε μοῖρα τῆς νήσου ἐξεδωριώθη. ὅρα καὶ ἐν ἀρχῇ, § 2, ὑποσημ 1. περὶ δε τῆς τοποθεσίας αὐτῶν, Pashley, II, p. 107, 263. 111. 99. 102, 370. 257.
4) Οὗτος πατὴρ ἦν τοῦ ἐν τοῖς Πυθίοις ἀοιδοῦ καὶ νικητοῦ Χρυσοθέμιδος. ὅρα Παυσ. X, 7. 2. παράβ. καὶ Πρόκλον π. Φωτίῳ, σελ. 320, βιβ. 1.
5) Ὅρα Müller's Dorier, II, c. 1, § 4.
6) Hoeck, II, 438. — Οἱ ἀπόγονοι τῶν μεταναστῶν τούτων κατηρίθμουν ἐν τοῖς θεμελιωταῖς τῶν Πελοποννησιακῶν ἐν τοῖς δυτικοῖς τῆς νήσου πόλεων καὶ τὸν διαβόητον τῶν Ἀτρειδῶν κήρυκα Ταλθύβιον. ἀλλὰ τὸ τῶν Ταλθυβιαδῶν γένος ἐκ Σπάρτης ἦν (ὅρα Ἡρόδ. VII, 134.)· ἐκ τούτου δ' εἰκάζεται καὶ ἐκ Λακεδαίμονος, οἷα ἐγγὺς οὔσης, ἀποβῆναι εἰς Κρήτην Δωριεῖς ἢ Ἀχαιοὺς ἑτέρους τῶν περὶ Πόλλιν καὶ Δελφόν· γνωστὴ δὲ καὶ ἡ παράδοσις, ὅτι Λυκοῦργος ἐν τῇ πόλει Περγάμῳ ἐτελεύτησεν (ὅρα Ἀριστόξενον π. Πλουτ. ἐν β. Λυκούργου, κ. 31,), ἐξ οὗ γε δῆλον, εἰ ἀληθῆ τὰ περὶ Λυκούργου, ὅτι καὶ ἐν τοῖς δυτικοῖς Κρήτης καθέσταντο Δωριεῖς καὶ Ἀχαιοὶ ἐκ Λακεδαίμονος, ὡς ἐν Περγάμῳ καὶ ταῖς ἄλλαις πόλεσι ταύταις.
7) Ἐφ' ἁπάσης τῆς νήσου, καὶ δὴ ἐν ταῖς μεγάλαις πόλεσιν, ὅπου

*ἐν Πελοποννήσῳ Δωριεῦσίν εἰσιν· ὡς δ' ἐκεῖ ἐν μὲν Λακεδαίμονι ὁρῶμεν ἐπὶ πολλὰς ἑκατονταετηρίδας ἀκμάζοντα τὸν αὐστηρὸν Δωρισμόν, ἀπὸ δὲ τῆς Ἀργολίδος πρωΐμως ἐκστάντα τῆς φύσεως αὐτοῦ, αὕτω καὶ ἐνταῦθα, ἐν μὲν Λύκτῳ καὶ τῇ ἄλλῃ ἀνατολικῇ Κρήτῃ ὁρῶμεν αὐτὸν γνησιώτερον*[1]) *τοῦ ἐν τῇ δυτικῇ διατελέσαντα. ἐκ τῶν μεγαλοπόλεων δὲ τῆς Κρήτης μόνη Κνωσός, ἣν Ὅμηρος ἐκ παλαιοῦ μεγάλην καλεῖ, φαίνεται μὴ ἐκδωριωθεῖσα*[2]), *ἀλλ' ἀντιστᾶσα τοῖς ἐπελθοῦσι Δωριεῦσιν, εἶτα δὲ τῇ ἕδρᾳ αὐτῶν γείτονι Λύκτῳ, ἣν ἑλοῦσα ἐν τέλει κατέστρεψε*[3]). *καίπερ δ' εὐχερεστέρου Πόλλιδι τῷ Σπαρτιάτῃ ὄντος εἰς τὰ ἐπίνεια Κνωσσοῦ Ἀμνισὸν καὶ Ἡράκλειον*[4]) *καταχθῆναι καὶ ἐκεῖ τήν τε θεὸν καὶ τὴν ἄγκυραν ἀπολέσαι τοῦ μαντείου, ἀποβάντα δὲ πορευθῆναι ἀμέσως ἐπὶ τὴν γεραρὰν τῆς Κρήτης μητρόπολιν, πολλῷ ἧττον τῆς θαλάσσης διέχουσαν ἢ ὅσον ἡ Λύκτος τοῦ ἐπινείου Χερσονήσου, προείλετο ὅμως εἰμὴ τὸ δυσχερέστερον, ἀλλά γε τὸ ἐπιπονώτερον λόγῳ τοῦ μακροτέρου διαστήματος πρᾶξαι· ἡ γὰρ ἕδρα καὶ τὸ βασίλειον τοῦ πρώτου ἐν Ἕλλησι νομοθέτου καὶ θαλασσοκράτορος ἰσχυρά γε ἦν ἔτι καὶ σεβαστή.*

§ 70. *Ταῦτα μὲν δὴ ταῦτα καὶ περὶ τοῦ πέμπτου παρ' Ὁμήρῳ ἐν Κρήτῃ λαοῦ, τῶν Κρητᾶν Δωριέων· σὺν τῇ ἀποβάσει δ' αὐτῶν εἰς τὴν νῆσον ληγούσης τῆς ἐν τῇδε τῇ πραγματείᾳ ὑποθέσεως*[5]), *ἧς τὴν ἔρευναν προεθέμεθα, συνοψίζομεν τὰ ἐν αὐτῇ ἐν τοῖς δε.*

*α'.) Τὸ Ἑλληνικὸν ἔθνος καθ' ὅλου ἐκ δύο συνέστηκε στοιχείων, ἐκ Προπελασγικοῦ τινος, ὃ εὗρον οἱ ἐπελθόντες*

*μᾶλλον οἱ Δωριεῖς ᾤκουν, ἡ Δωρικὴ ἐν τοῖς ἱστορικοῖς χρόνοις ἐλαλεῖτο διάλεκτος· τοῦτο δείκνυσιν, ὅτι ἡ τῶν ἐγχωρίων γλῶσσα οὐ πάνυ τοι παρήλλασσε τῇ τῶν ἐπελθόντων, ἄλλως οὐκ ἂν λαλοῖτο ἐν Κρήτῃ μόνη ἡ Δωρικὴ διάλεκτος, εἰ μὴ τὴν ἀρχὴν κλάδος τις ἦν τῆς μεγάλης ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι διαλέκτου τῶν Αἰολέων ἢ τῶν Ὁμήρου Ἀχαιῶν, ἐξ ὧν, καθ' ἅπερ ἐν οἰκείῳ τόπῳ ἐδείξαμεν, καὶ οἱ Κρῆτες γεγόνασιν. ὅρα καὶ* Grote, I, 656—659.

1) *Ὅρα Ἀριστοτ. Πολιτ.* II, 10. *Στράβ.* X, 481. *Πολύβ.* IV, 54.

2) Hoeck, II, 445—447.

3) *Πολύβ. ἔνθ' ἀνωτέρω.*

4) *Ἡ μὲν Ἀμνισὸς θεωρητέον τὸ ἐπὶ Μίνωος Κνωσοῦ ἐπίνειον (ὅρα Στρ.* X, 476. *Παυσ.* I, 18, 4. *Εὐστ. ἐν Ὀδυσσ. σελ.* 1861.), *τὸ δ' Ἡράκλειον (ἢ Ἡράκλεια) τὸ ἐν τοῖς ὕστερον χρόνοις. ἀλλὰ Πλίνιος προστίθησι καὶ τρίτον* (Hist. nat. IV, 12, 20.), *τὸ Μάτιον, μικρὸν πρὸς δυσμὰς Ἡρακλείου αὐτὸ τάττων. διὸ οἱ νεώτεροι περιηγηταὶ Πασλεϋος καὶ Προκέσχης φασὶν ὁ μὲν τὴν καθ' ἡμᾶς Κανδίαν ἢ Μεγαλοκάστρον ἐπὶ τοῦ ἀρχαίου Ματίου κεῖσθαι, ὁ δ' ἐπὶ τοῦ Ἡρακλείου. ὅρα* Pashley, I, p. 202 *καὶ* 263. Prokesh v. Osten, I, p. 578 *καὶ* 585.

5) *Ἡ τοὐντεῦθεν ἱστορία τῶν ἐν Κρήτῃ λαῶν τῷ Δωρικῷ ἰδίως στοιχείῳ ἀναγομένη, ἔξω τῆς ὑποθέσεως τῆς δε τῆς πραγματείας, τῆς ἱστορικῆς ἐρεύνης τῶν παρ' Ὁμήρῳ ἐν αὐτῇ λαῶν κεῖται. διὸ καὶ ἐνταῦθα τὸν λόγον καταλύοντες, κατὰ τὰ ἐν ἀρχῇ ἐπαγγελθέντα, ἐν ἑτέροις καιροῖς, Θεοῦ διδόντος, τὰ περὶ τῆς Δωρικῆς ἰδίως Κρήτης μέχρι τῆς Ῥωμαίων κυριαρχίας ἐκθησόμεθα.*

*Γραικοπελασγοὶ ἐξ ἀμνημονεύτων χρόνων τὴν χώραν κατέχον, καὶ ἐκ τοῦ Γραικοπελασγικοῦ ἤ Γραικοϊταλικοῦ. τοὺς γὰρ ἀμφοτέρωθεν τοῦ Αἰγαίου Ἴωνας καὶ Αἰολεῖς (ἢ καθ' Ὅμηρον Ἀχαιούς), τοὺς ἐκ τούτων Δωριεῖς, καὶ τέλος τοὺς κατὰ τὴν γενικὴν κλῆσιν Ἕλληνας ἔφημεν μηδὲν ἕτερον εἶναι ἢ τοὺς αὐτοὺς λαοὺς ἐν ἀλλαγαῖς μόνον παρισταμένους ὀνομάτων ἐπὶ τῆς οὐσίας τῶν δύο ἐκείνων πρώτων στοιχείων ταῖς κατὰ καιροὺς περιστάσεσιν ἐφαρμοσθέντων, καὶ δὴ τοῦ Γραικοπελασγικοῦ. ἡ προσάρκτιος δ' Ἑλλάς, αἱ περὶ Πίνδον χῶραί, ἐστιν ἡ πρώτη ἐν τόπῳ τε καὶ χρόνῳ κοιτίς, ἀφ' ἧς ὡς ἀπ' ἐγκεφάλου αἱ διάφοροι διεξεπορεύθησαν δεσμίδες τῶν νεύρων, ἅ περ ἐφ' ἅπαντος τοῦ τῆς Εὐρωπαϊκῆς Ἑλλάδος σώματος ἐξετάθη, ἀφ' ἧς, ἵν' οὕτω κατὰ τὸν Ποιητὴν φῶμεν, 'ἠΰτε ἔθνεα μελισσάων ἀδινάων, πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων'[1]), ἐξεγίγνοντο καὶ Πελασγοί, καὶ Σελλοὶ ἢ Ἑλλοὶ ἢ Ἕλληνες, καὶ Θεσσαλοί, καὶ τέλος Δωριεῖς, μεθ' οὓς πρὸς μεσεμβρίαν χωρήσαντας στερρῶς τε καὶ διαρκῶς τοὐντεῦθεν ὡρίσθη τὰ τῶν φύλων ὀνόματα, ἐξ ὧν περ ὁ Ἑλληνικὸς λαὸς ὁ ἐν τοῖς ἱστορικοῖς χρόνοις συνέστηκεν.*

*β'.) Οἱ πέντε παρ' Ὁμήρῳ ἐν Κρήτῃ λαοὶ Ἐτεόκρητες, Κύδωνες, Πελασγοί, Ἀχαιοὶ καὶ Δωριεῖς ἐν μικρῷ παριστᾶσιν, ἐν τῇ μικρᾷ Κρητικῇ ἠπείρῳ, ὅ, τι ἐν τῇ μεγάλῃ ὁρῶμεν χέρσῳ· Ἐτεόκρητες μὲν γάρ εἰσιν ἐν Κρήτῃ ὅ, τι τὸ ἐν τῇ χέρσῳ Ἑλλάδι Προπελασγικὸν τοῦ ὅλου Ἑλληνικοῦ στοιχεῖον, Κύδωνες δὲ καὶ Πελασγοὶ αὐτὸ τὸ Γραικοπελασγικόν, ἐξ οὗ ὀνόματος ἀλλαγῇ, ὃν τρόπον εἴδομεν, ἐφ' ἁπάσης τῆς Εὐρωπαϊκῆς Ἑλλάδος Αἰολεῖς (ἢ Ἀχαιοὶ) καὶ τέλος Δωριεῖς γεγόνασι.*

1) Ὅρα Ὁμ. Ἰλ. Β, 87 κ̣αὶ 88.

ΥΠΟΥΡΓ. ΕΣΩΤΕΡΙΚΩΝ — ΚΟΙΝΟΤ. ... ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

30-5

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ